On the Composition of Drugs by Places: Book 5 by Galen of Pergamon

12.804 *ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Ε.*

Τὸ ὑπώπιον ὅτι μὲν ὑπὸ τοὺς ὤπας γίνεται, καὶ τοὔνομα αὐτὸ δηλοῖ, καθάπερ εἴ τις ὑποφθάλμιον ὠνόμασεν αὐτό. τοῦ γένους δέ ἐστιν τῶν ἐκχυμωμάτων, ὀνομάζουσι δ' οὕτως Ἱπποκράτης τε καὶ ἄλλοι πολλοὶ τῶν ἰατρῶν τὸ κατὰ τὸ δέρμα πάθος, ὅταν τῶν ἐν αὐτῷ λεπτῶν φλεβῶν θλασθεισῶν αἷμα διὰ τῶν θλασμάτων ἐκχυθῇ, μὴ καθ' ἕνα τόπον ἀθρόως
12.805 θρομβούμενον αὐτίκα τὸ οὕτως ἐκκριθὲν, ἀλλ' ἐπειδὰν, ὡς αὐτοὶ καλοῦσιν, κατὰ διαπήδησιν ἡ ἔκχυσις γίνεται. συμβαίνει γε μὴν ἐνίοτε, κἂν οὕτω συστῇ, πελιδνοῦσθαί τε καὶ μελαίνεσθαι τῷ χρόνῳ, μικρῶν δηλονότι θρομβίων γενομένων ἐκ τοῦ διασπαρέντος αἵματος εἰς πολλὰ μόρια τοῦ δέρματος, ὅθεν εἰκότως οἱ ἰατροὶ σπεύδουσιν αὐτὸ θεραπεύειν αὐτίκα πρὶν μελανθῆναι, σκοπὸν μὲν ἔχοντες τῆς ἰάσεως διαφορῆσαι τὸ αἷμα, δυσδιαφόρητον εἰδότες γινόμενον τὸ θρομβωθέν. ἐπεὶ δὲ ὁ χιτὼν θλᾶται τῶν φλεβίων ἐξ ὧν διαπηδᾷ τὸ αἷμα, μίγνυταί τι βραχὺ τοῖς διαφορητικοῖς φαρμάκοις τῶν στυπτικῶν. ἂν γὰρ ἁπλῆς εἴη δυνάμεως μόνης τῆς διαφορητικῆς τὸ φάρμακον, ἐξ ἀρχῆς παραλαμβανόμενον, οὐ μόνον διαφορήσει τὸ ἐκχυθὲν, ἀλλὰ καὶ διὰ τῶν θλασμάτων ἕλξει τι τοῦ περιεχομένου κατὰ τὰς τεθλασμένας φλέβας αἵματος. ὅταν δ' εἰς τὸ κατὰ φύσιν ἐπανέλθῃ τὰ φλεβία καὶ χωρὶς τοῦ παραστύφειν, ἐπὶ τὰ διαφορητικὰ τῶν φαρμάκων μεταβαίνειν καιρός. ὥσπερ δ' ἐπὶ τῶν ἄλλων παθῶν ἀδιορίστως οἱ πλεῖστοι τῶν ἰατρῶν τὰ βοηθήματα
12.806 γεγράφασιν, οὕτω κἀπὶ τούτων ἄνευ τῶν ἄρτι μοι λελεγμένων διορισμῶν, ἔγραψαν ἁπλῶς ὑπωπίων βοηθήματα. μεμνημένοι δὲ ὑμεῖς ὧν ἐν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐμάθετε διακρίνειν δυνήσεσθε, τίνα μὲν αὐτῶν διαφορεῖν χρὴ μόνον ἄνευ τοῦ παραστύφειν, ἐπὶ τίνων δὲ μιγνύναι τῶν ἐπ' ὀλίγον τι στυφόντων. καὶ μέντοι καὶ διαφορούντων αὐτῶν εὔδηλον ὅτι τὰ μὲν ἀσθενέστερα πρῶτα παραληπτέον ἐστὶ, τὰ δ' ἰσχυρότερα τοῖς χρονίζουσί τε καὶ μελαινομένοις προσακτέα. παραδείγματος γοῦν ἕνεκα οἷς ἐγὼ χρῶμαι δηλώσω πρῶτον,

εἶθ’ οὕτως ἐπὶ τῶν ἀξιοπίστων ἰατρῶν τὴν ἱστορίαν μεταβήσομαι. καλεῖται δὲ Νείλου διάρροδον ἔνδοξον ἐκ παλαιοῦ κολλύριον, οὗ καὶ τὴν σύνθεσιν ἐν τῷ πρὸ τούτου γράμματι διῆλθον. τοῦτο δι’ ὕδατος ἐπιτρίβων ἐπ’ ἀκόνης ὀφθαλμικῆς ἐπαλείφω τὸ ὑπώπιον, ἀφεψήματι πυριῶν μελιλώτου τε καὶ τήλεως, εἶθ’ ἑξῆς τὸ κολλύριον αὐτὸ διὰ τούτου λύω, κᾆπειτα δι’ αὐτῆς μόνης τῆς τήλεως. εἰ δέ τι καταλείποι τὸ
12.807 λείψανον τοῦ παθήματος, ἐν τῷ τῆς τήλεως ἀφεψήματι τὰ καλούμενα διάσμυρνα κολλύρια λύων ἐπιχρίω. συμφέρει δὲ δὶς τῆς ἡμέρας ἐπαλείφειν τὸ φάρμακον ἅμα τῷ προπυριᾶσαι διὰ σπόγγου μαλακοῦ θερμοῖς τοῖς ἀφεψήμασιν, ἐν ἀρχῇ μὲν δι’ ἀμφοῖν γεγενημένου τῆς τε τήλεως καὶ τοῦ μελιλώτου, χρονίζοντος δὲ διὰ μόνης τῆς τήλεως. οὗτος ὁ τρόπος τῆς θεραπείας ὡς τὸ πολὺ τελέως ἐκθεραπεύει τὰ ὑπώπια, παντάπασιν ὀλίγων διαφευγόντων αὐτῶν, ἐφ’ ὧν τό τε διὰ σάνδικος κολλύριόν ἐστι χρήσιμον καὶ τῶν γεγραμμένων τοῖς ἰατροῖς πρὸς ὑπώπια φαρμάκων ὅσα διαφορεῖ γενναίως. ἄρξομαι δ’ ἀπὸ τῶν ὑπ’ Ἀρχιγένους γεγραμμένων ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων, προγράφων μὲν τὴν λέξιν αὐτοῦ, μετὰ τοῦτο δὲ καὶ εἴ τις αὐτῷ λείποιτο διορισμὸς προστιθείς.

Ἀρχιγένους φάρμακα πρὸς ὑπώπια κατὰ τὴν ἐκείνου λέξιν. Τὰ ὑπώπια ἰᾶται παραχρῆμα καταπλασσομένη ῥάφανος, ἀφαιρεῖν δὲ χρὴ αὐτὴν, ὅταν ἄρχηται δάκνειν. ὀρθῶς ἐποίησεν προσγράψας αὐτὴν αἱρεῖν, ὅταν
12.808 ἄρξηται δάκνειν. ἀναστομώσει γὰρ, ἐὰν ἐπιμείνῃ δάκνουσα τὰ τῶν φλεβίων θλάσματα, διὸ καὶ κατ’ ἀρχὰς οὐ χρηστέον αὐτῇ, κεχρονισμένων μέντοι τῶν ὑπωπίων, ἡνίκα καὶ μελαίνεται, κᾆν πλείονα χρόνον ἐπικειμένην τις αὐτὴν φυλάξῃ, μᾶλλον ὠφελήσει. ποιεῖ δὲ καὶ τυρὸς νεαλὴς καταπλασσόμενος. καὶ αὐτὸς μὲν ὁ τυρὸς ἐμπλαστικός ἐστιν, ὁ δὲ νεαλὴς τουτέστιν ὁ νεωστὶ τοὺς ἅλας προσειληφὼς καὶ μήπω κεχρονισμένος μικτῆς ἐστι δυνάμεως, ἐμπλαστικῆς δι’ ἑαυτὸν, διαφορητικῆς δὲ καί τι στυπτικὸν ἐχούσης διὰ τοὺς ἅλας, ὥστε χρῆσθαι τούτῳ καὶ κατ’ ἀρχὰς, οὐδὲν ἄτοπον. ἢ κηρωτὴ μετὰ ἀψινθίου, ἢ χυλῷ ῥαφάνου ἀναληφθεῖσα, ἢ ὑσσώπου κόμη λεία ὁμοίως. ἄν τε μετὰ κόμης ἀψινθίου λελειωμένης, ἄν τε μετὰ τοῦ χυλοῦ τὴν κηρωτὴν ἀναμίξας προσενέγκῃς, ὁμοίαν ἐπιδείξεται δύναμιν. εὐαφέστερον δ’ ἂν εἴη τὸ

φάρμακον, εἰ τοῦ χυλοῦ τῇ κηρωτῇ μιχθείη. ἡ μέντοι τῆς ῥαφανῖδος τὸ χύλισμα ἢ τὸ ὕσσωπον λαβοῦσα κηρωτὴ δραστικώτερόν ἐστι φάρμακον ἢ ὡς κατὰ τὴν ἀρχὴν εὐθέως προσφέρεσθαι, πλὴν εἰ φθάσειεν ἢ πελιδνὸν ἢ
12.809 μέλαν γενέσθαι τὸ ὑπώπιον, ὅπερ καὶ αὐτὸς ἐφεξῆς ἐρεῖ. ἄκρως ποιεῖ πρὸς τὰ πρόσφατα καὶ πελιδνὰ τῶν ὑπωπίων σπόγγος εἰς ἅλμην ἀποβαπτόμενος καὶ συνεχῶς προστιθέμενος καὶ ἀφαιρούμενος, μετὰ τοῦτο δὲ πυρία συνεχὴς δι' ὕδατος θερμοῦ ὠφελεῖ. ὥσπερ δὲ τῇ ῥαφανῖδι κατ' ἀρχὰς χρῆσθαι οὐκ ἀσφαλὲς, δι' ἣν εἶπον αἰτίαν, οὕτως οὐδὲ τῇ ἅλμῃ. διὸ καὶ μετὰ ταῦτα δι' ὕδατος θερμοῦ κελεύει πυριᾶν, ἕνεκα τοῦ παρηγορῆσαι τὴν ἐκ τῆς ἅλμης δῆξιν. οὐ μὴν οὐδ' ἐπὶ πάντων ὑπωπίων ἐν ἀρχῇ συνεβούλευε χρῆσθαι τῇ διὰ τῆς ἅλμης πυρίᾳ, ἀλλ' ἐπὶ τῶν εὐθέως πελιδνῶν γινομένων. ἐπ' ὀλίγον οὖν χρόνον ἐπὶ τούτων ἅλμῃ χρηστέον, ἐφ' ὧν δὲ αἱματώδης ἐστὶν ἢ ὑπόξανθος ἢ ὕπωχρος ἡ χρόα φεύγειν δεῖ τὴν ἅλμην. κατάπλασσε δὲ ἐρεγμῷ λείῳ, ἀψινθίῳ, ὑσσώπῳ, ὀριγάνῳ, ῥαφάνου φλοιῷ, σταφίδι χωρὶς τῶν γιγάρτων κατ' ἰδίαν ἑκάστῳ μετὰ μέλιτος ἢ ὄξους ἢ ὕδατος. ἐλλιπῶς ἔγραψε τὰ πρῶτα τῶν βοηθημάτων μὴ προσθεὶς τῷ λόγῳ πότερον ἐφθοῖς ἢ ὠμοῖς χρῆσθαι κελεύει τῷ τε ἐρεγμῷ καὶ τῷ ἀψινθίῳ καὶ τῷ ὑσσώπῳ. ἔοικε δ' ὠμοῖς
12.810 χρῆσθαι κελεύειν, εἰπὼν ἐπὶ τῷ τέλει τῆς ῥήσεως μετὰ μέλιτος ἢ ὄξους ἢ ὕδατος ἑκάστῳ τῶν εἰρημένων χρῆσθαι, προσέθηκε γὰρ ἂν νῦν τὸ ἑψηθεῖσιν. ἀλλὰ καὶ κατ' αὐτὸν τοῦτον τὸν λόγον, ἀνόμοια ταῖς δυνάμεσιν εἰπὼν τρία φάρμακα, μοχθηρῶς μοι δοκεῖ κελεῦσαι μετὰ τοῦδε ἢ τοῦδε χρῆσθαι. τὸ μὲν γὰρ ὕδωρ ἀδηκτότατόν ἐστιν, οὐ τῷ δέρματι μόνον, ἀλλὰ καὶ τοῖς ἕλκεσιν. τὸ μέλι δὲ τοῖς μὲν ἕλκεσι δακνῶδες, ἄδηκτον δὲ τῷ δέρματι. τὸ δὲ ὄξος ἀμφοτέροις δακνῶδες. οὐ μὴν οὐδὲ ῥαφάνου φλοιὸς ἔοικε τῇ σταφίδι κατὰ δύναμιν, ὥσπερ οὐδ' ἀψίνθιον ὕσσωπόν τε καὶ ὀρίγανον. ἰσχυρὰ μὲν γὰρ ταῦτά ἐστι καὶ διαφορητικὰ, μετρίας δὲ καὶ ἀδήκτου δυνάμεως ἡ σταφὶς καὶ λευκὸς βολβὸς μετ' ὠοῦ καὶ μέλιτος. ὡς δριμύτερον τὸν ξανθὸν βολβὸν παραιτεῖται κατ' ἀρχὰς εὐθέως προσφέρειν. ἴσμεν δ' ὅτι καὶ τὸ μέλι διαφορητικῆς ἐστι δυνάμεως. διό μοι δοκεῖ μιγνύναι τὸ ὠὸν αὐτοῖς, ἱκανῶς παρηγορικὸν ὑπάρχον. κυκλάμινος κατ' ἰδίαν καὶ μετὰ σταφίδος. οὐδὲ ἐνταῦθα μικρόν ἐστι τὸ ἐν μέσῳ κυκλαμίνου καὶ σταφίδος, ὥστε

οὐκ οἶδα τίνι λόγῳ καταμόνας κέχρηται τῇ κυκλαμίνῳ καὶ μιγνὺς
12.811 σταφίδι. καταμόνας μὲν γὰρ ἰσχυρότατόν ἐστι φάρμακον, ἅμα δὲ τῇ σταφίδι τοσοῦτον ἀφαιρήσει τῆς δυνάμεως, ὅσῳ περ ἂν ὄγκῳ συμμιχθῇ τῆς σταφίδος. ἢ νίτρον μετὰ ὑσσώπου καὶ σταφίδος μέλιτι μιχθέν. βελτίων οὗτος ὁ λόγος τοῦ πρόσθεν, ἐν ᾧ καὶ μόνῃ ποτὲ χρῆσθαι τῇ κυκλαμίνῳ συνεχώρει. ὡς εἴ γε καὶ νῦν τὸ ὕσσωπον αὐτό τε καθ' ἑαυτὸ προσφέρειν συνεβούλευε μὴ προσθεὶς ἐπὶ τῶν πάνυ κεχρονισμένων ὑπωπίων, ὁμοίως ἂν ἥμαρτε. μυρσίνην μετὰ ἁλῶν καὶ ὕδατος. εἴρηταί μοι καὶ πρόσθεν ὡς ἐν ἀρχῇ βελτίονα τῶν διαφορούντων μόνον ἐστὶ τὰ προσειληφότα βραχείας στύψεως, ὁποῖα τά τε ῥόδα καὶ τὸ μελίλωτόν ἐστι καὶ ὁ κρόκος. οὐ μὴν ἔκ γε τῶν τοιούτων φαρμάκων ἐστὶν ἡ μυρσίνη σφοδρῶς στύφουσα, διόπερ οὐκ ἂν ἔγωγέ ποτε χρησαίμην αὐτῇ, καὶ μάλιστα, ἐὰν ἤδη πελιδνὸν εἴη τὸ χρῶμα τῶν ὑπωπίων. νᾶπυ μετὰ στέατος προβατείου. τοῖς κεχρονισμένοις καὶ μεμελασμένοις ὑπωπίοις μόνοις ἁρμόσειεν ἂν τοῦτο, καὶ μάλιστα ἐὰν μὴ παντάπασιν ὀλίγον ᾖ τὸ
12.812 μιγνύμενον νᾶπυ τῷ στέατι. μυρίκης φύλλα καὶ ὁ καρπὸς λεῖα μεθ' ὕδατος κατ' ἰδίαν καὶ ὁμοῦ μιγνύμενα. καὶ τοῦτο τὸ φάρμακον οὐ μόνον διαφορητικὸν, ἀλλὰ καὶ συνακτικὸν ἔχει τι, διόπερ οὐχ ἁρμόττει τοῖς χρονίοις καὶ μελανθεῖσιν ὑπωπίοις. ποιεῖ δὲ καὶ σπόγγος καὶ ὀθόνιον ὄξει καὶ μέλιτι διάβροχα προστιθέμενα. τοῦτο τὸ βοήθημα κατ' ἀρχὰς μὲν προσφερόμενον οὐ πάνυ δριμέος ὄξους δεῖται, προήκοντος δὲ τοῦ χρόνου καὶ πελιδνωθέντος ἢ μελανθέντος οὐδὲν ὀνίνησι χωρὶς ὄξους δριμυτάτου σκευασθέν. ἢ ἐρεγμὸν μασησάμενος ἐπίθες σὺν μέλιτι. καὶ χωρὶς τοῦ μασήσασθαι κυάμινον ἄλευρον εἰ μετὰ μέλιτος φυραθείη διαφορεῖ πελιώματα. διαφορητικώτατον δὲ γίνεται μασησάμενον αὐτὸ, προσλαμβάνον τὴν ἀπὸ τοῦ σιέλου δύναμιν. ὠοῦ λέκιθον ὁμοίως. ἐὰν μίξωμεν ὠοῦ λεκύθῳ μέλι, καθάπερ ἔμπροσθεν εἶπον τὸν ἐρεγμὸν, ὅμοιον ἐργασόμεθα τῷ προειρημένῳ φαρμάκῳ ἔν τε τῇ σκευασίᾳ καὶ τῇ δυνάμει. ἢ χοίρου πνεύμονα θερμὸν ἐπιτίθει. οὐκ ἄν τις ἀνάσχοιτο καθάριος ἀνὴρ τοιούτου βοηθήματος. ἢ μυρίκης ἀφεψήματι πρόσκλυζε.
12.813 οὐ πρὸ πολλοῦ περὶ μυρίκης δυνάμεως εἴρηται. ἢ καρδάμωμον μετὰ σμύρνης ἐπιτίθει. διαφορητικὸν μὲν ἡ σμύρνα φάρμακόν ἐστι, τὸ δὲ καρδάμωμον δριμύ. ταῦτα ἀρκεῖν μοι δοκεῖ τῶν ὑπ' Ἀρχιγένους

γεγραμμένων ἐν παραδείγματος μοίρᾳ λελέχθαι, δεικνύντι τὸν τρόπον τῆς ἐξετάσεως τῶν φαρμάκων, ὁποῖα μέν ἐστι κατ᾽ ἀρχὰς ἁρμόττοντα χωρὶς τοῦ πελιδνὸν ἢ μέλαν ἤδη τὸ ὑπώπιον ὑπάρχειν. ὁποῖα δὲ πελιδνῶν ἢ μελάνων ἤδη γεγονότων ἢ κεχρονισμένων, ὥστε τὰ τούτων ἐφεξῆς αὐτὰ γράψω μόνα κατὰ τὴν τοῦ Ἀρχιγένους λέξιν. ἢ ψιμυθίου καὶ λιθαργύρου ἴσα μετὰ μέλιτος λεάνας ἐρεγμὸν μίσγε, ὥστε κηρωτῶδες γενέσθαι, καὶ χρῶ. ἢ ὄφεως γῆρας μετὰ θαλάσσης τρίβων ἐπίχριε, ἢ κύμινον ῥάκει ἐνδήσας ζεστὸν ἀποβάπτων πυρία, ἢ σίνηπι μετὰ κηρωτῆς ἐπιτίθει, ἢ μάραθρον λεῖον ἐπιτίθει, ἢ λίβανον καὶ θαψίαν ἴσα μετὰ ῥοδίνης κηρωτῆς, ἢ ἡδύοσμον καὶ λιθάργυρον ἴσα ἐπιτίθει, ἢ κρίθινον ἄλευρον μετ᾽ ὀξυμέλιτος ἐψημένον, ἢ κύαμον ἐν οἴνῳ βεβρεγμένον
12.814 μέχρις ἂν λυθῇ λεάνας, ὡς σπληνίον ἐπιτίθει, ἢ ἐρέβινθον ὀροβιαῖον ὁμοίως, ἢ τὴν ἐπὶ τῶν ἰπνῶν αἰθάλην μετὰ ἴσου ψιμυθίου σὺν οἴνῳ εὐώδει κατάχριε, ἢ θαψίαν καὶ ἀλεύρου ὀροβίνου τὸ τριπλοῦν ὁμοίως, ἢ ὠμὸν τάριχον βρέξας ἀπόθλιψον, εἶτα ἐν οἴνῳ εὐώδει λεάνας ἐπίθες. πρὸς δὲ τὰ παλαιότερα ὑπώπια σμίλακος καρπὸς μετὰ μελαίνης σταφυλῆς λεῖος, ἢ θαψίας ῥίζα κοπεῖσα καὶ ὁ χυλὸς ἀναληφθεὶς στέατι καὶ συνεχῶς προστιθέμενος. γέγραπται μὲν ἔν τισι τῶν ἀντιγράφων οὐ παλαιότερα παραβλητικῶς, ἀλλ᾽ ὑπερθετικῶς παλαιότατα. λέλεκται δέ μοι κατ᾽ ἀρχὰς εὐθέως ὡς ἐπὶ τῶν τοιούτων ὑπωπίων ἰσχυρῶς διαφορητικοῖς χρῆσθαι δεῖ φαρμάκοις, ὁποῖα τά τε κατὰ τὴν προκειμένην ῥῆσίν ἐστιν ὑπ᾽ αὐτοῦ γεγραμμένα καί τινα τῶν ἔμπροσθεν ὡς ἐδείχθη. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν, ὁ δὲ Ἀπολλώνιος ἅμα διορισμοῖς πλείοσιν ἐπιμελέστερον ἐν τῷ πρώτῳ τῶν εὐπορίστων ὠδί πως ἔγραψεν.

Τὰ ὑπ᾽ Ἀπολλωνίου γεγραμμένα φάρμακα, πρὸς ὑπώπια πρόσφατα καὶ
12.815 πελιώματα. Σπόγγον εἰς θάλατταν ἀποβάπτων ἀπεζεσμένην πυρία συνεχῶς τοὺς τόπους, ἢ σπόγγον εἰς ἅλμην δριμεῖαν ἀποβάπτων πυρία παραπλησίως. ἢ εἰς ὄξος ἀπεζεσμένον καὶ οἶνον ὁμοίως. ἐπιτίθει τε καὶ σπλήνιον μέλιτι καὶ ὄξει καταβρέχων ἢ ἔριον ἢ σπόγγον. ἀψινθίῳ λείῳ μετὰ μέλιτος ἀνάπλασσε, ἢ ὑσσώπῳ λείῳ μετὰ μέλιτος ἐρεγμῷ παραπλησίως, ὀριγάνῳ ὁμοίως, ῥαφανῖδος φλοιῷ μετὰ μέλιτος, βολβοῖς λείοις καθ᾽ αὑτούς, ἢ μετὰ μέλιτος καὶ μετὰ λεκίθου ὠοῦ. λίνου σπέρματι καὶ ἁλσὶ λείοις μετ᾽ ἐλαίου καὶ λεκίθου ὠοῦ. σιλφίῳ λείῳ μετ᾽ ἐλαίου

καὶ οἴνου, σαμψύχῳ λείῳ μετὰ μέλιτος, μυρσίνῃ καὶ ἁλσὶ λείοις μετ᾽ ὄξους, μαράθρῳ λείῳ μετὰ κηρωτῆς, ὑσσώπῳ καὶ νίτρῳ μετὰ μέλιτος καὶ ὄξους, ἀσβέστῳ μετὰ κηρωτῆς, νάπυϊ λείῳ μετὰ μοσχείου στέατος ἢ μετὰ κηρωτῆς.

Πρὸς ὑπώπια χρόνια. Ἄρου ῥίζαν ξύσας καὶ μέλιτι μίξας εἰς ὀθόνιον ἐγχρίσας ἐπιτίθει, χρῶ δὲ καὶ ταῖς διαφορητικαῖς τῶν δυνάμεων, αἵτινες ἀναγραφῆς τεύξονται.

Πρὸς ὑπώπια μετ᾽ οἰδήματος. Σπογγίον ὄξει καταβρέξας ἐπιτίθει καὶ ταῖς
12.816 ὑποδεδειγμέναις πυρίαις χρῶ συνεχέστερον, κατάπλασσε δὲ ἀλεύρῳ κριθίνῳ μετ᾽ ὀξυμέλιτος ἐψημένῳ μέχρι ταπεινώσεως καὶ τὸ λοιπὸν ἤδη χρῶ τοῖς ὑπογεγραμμένοις καταπλάσμασιν.

Πρὸς ὑπώπια μετὰ φλεγμονῆς. Ὕδατι θερμῷ πυρία καὶ καταπλάσσων φακῷ ἐφθῷ λείῳ μετὰ μέλιτος ἐπιτίθει. κοχλίαν Αἰγύπτιον κεκομμένον ἐπιτίθει, ὅταν δὲ τὰ τῆς φλεγμονῆς ἔνδοσιν λάβῃ, τότε ἤδη καὶ τοῖς λοιποῖς χρῶ φαρμάκοις.

Πρὸς ὑπώπια μετὰ διακόμματος. Ἐπὶ μὲν τὴν διακοπὴν ἐπιτίθει τι τῶν ἐναίμων τραυματικῶν, τὰ δὲ κύκλῳ κατάπλασσε τοῖς πρὸς τὰ χωρὶς διακοπῆς ὑπώπια γεγραμμένοις φαρμάκοις. ἤρκει μὲν οὖν ἴσως καταπαύειν ἐνταῦθα τὸν περὶ τῶν ὑπωπίων λόγον, ἀλλ᾽ ἐπειδὴ τὰ παρὰ τῆς συμφωνουμένης πείρας κεκριμένα τῶν γε ἄλλων βεβαιότερά ἐστιν, ἔδοξέ μοι καὶ τὰ ὑπὸ Κρίτωνος ἐν τῷ τρίτῳ τῶν κοσμητικῶν γεγραμμένα προσθεῖναι κατὰ τὴν ἐκείνου λέξιν οὕτως ἔχουσαν.

12.817 Τὰ ὑπὸ Κρίτωνος γεγραμμένα πρὸς ὑπώπια πρόσφατα. Κώνειον λεῖον μεθ᾽ ὕδατος κατάπλασσε. ἀψίνθιον τρίψας μεθ᾽ ὕδατος καὶ εἰς ῥάκος ἐμπλάσας ἐπιτίθει. ἐὰν δὲ ᾖ ἁπαλὸς ὁ χρὼς, μέλιτος βραχὺ ἐπιβαλὼν ἐπιτίθει. ὕσσωπον Κιλίκιον τρίψας μεθ᾽ ὕδατος ἢ εἰς ῥάκος ἐνδήσας ποίει σφαιρώματα, καὶ ταῦτα εἰς ζέον ὕδωρ ἀποβάπτων ἡσυχῇ ἀποπυρία. βρυωνίας ῥίζαν τρίψας μετὰ μέλιτος ἐπιτίθει. ἢ τετριμμένην κηρωτῇ ἀναλαβὼν ἐπιτίθει. ἄλμην δριμεῖαν ποιήσας καὶ σπόγγους ἐπιβρέχων ἀποπυρία καὶ μετὰ ταῦτα τῆς ῥαφανῖδος τὸν φλοιὸν τρίψας μετὰ μέλιτος καὶ εἰς ῥάκος ἐμπλάσας ἐπιτίθει. ἢ σίνηπι λεῖον κηρωτῇ ἀναλαβὼν καὶ

μικρὸν στέατος μοσχείου ἐπιβαλὼν καὶ εἰς ῥάκος ἐμπλάσας ἐπιτίθει. καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον. χρονίων δὲ ὄντων τῶν ὑπωπίων ἢ καὶ τῶν λεγομένων πελιωμάτων, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις.

Πρὸς πελιώματα καὶ βαθύτατα ὑπώπια. ⁋ Τορδύλου μέρη δύο, γῆς Σαμίας
12.818 μέρος ἓν, ὄξει ἀναλαβὼν ἐπιτίθει, μέλιτος ὀλίγον ἀνακόψας, προσέχειν δὲ δεῖ ἐπιμελῶς μή ποτε ἑλκωθῇ ὁ χρώς.

Ἀπόψηκτρον ὑπωπίων Ἀριστάρχου. ⁋ Ὑσσώπου Κιλικίου ⸂ α′. θαψίας ῥίζης τὸ ἴσον, λιβανωτοῦ ἀτόμου τὸ ἴσον, κηροῦ Τυρρηνικοῦ ⸂ β′. ῥητίνης τερμινθίνης ⸂ α′. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, εἶτ’ ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει προσέχων μὴ ἑλκωθῇ, καὶ διὰ τοῦτο αἴρειν δεήσει συνεχῶς. ἄλλο. ⁋ θαψίας ῥίζης ⸂ ιβ′. ἢ τοῦ χυλίσματος ⸂ στ′. λιβανωτοῦ ἀτόμου ⸂ η′. ἐλλεβόρου λευκοῦ ⸂ β′. ἀψινθίου ⸂ α′. καὶ κηρωτῆς ῥοδίνης ⸂ ιστ′. μαλάξας ἀπόθου καὶ χρῶ, ἐμπλάσσων εἰς ὀθόνιον, αἴρειν δὲ δεῖ συνεχῶς. ἄλλο. ⁋ ἄγνου λευκοῦ ὀβολοὺς γ′. στρουθίου τὸ ἴσον, βαλάνου Αἰγυπτίας τὸ ἴσον, πνεύμονος αἰγείου κεκαυμένου τὸ ἴσον, ἀσπαράγου ῥίζης τὸ ἴσον, βδελλίου τὸ ἴσον, θαψίας χυλοῦ τὸ ἴσον, ὀξυμέλιτι ἀναλαβὼν χρῶ. ⁋ ἄγνου λευκοῦ τοῦ καρποῦ ⸂ γ′. στρουθίου ῥίζης τὸ ἴσον, νίτρου ἐρυθροῦ τὸ ἴσον, ῥαφάνου χυλοῦ τὸ ἴσον, ὑσσώπου Κιλικίου
12.819 τὸ ἴσον, ἀλεύρου κυαμίνου τὸ ἴσον, βαλάνου μυρεψικῆς δραχμὰς μ′. μυρίκης δραχμὰς μ′. πνεύμονος αἰγείου κεκαυμένου τῆς σποδοῦ ⸂ μ′. βολβῶν ἐρυθρῶν δραχμὰς μ′. θαψίας ῥίζης ⸂ μ′. λιβανωτοῦ δραχμὰς ιβ′. ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου καὶ χρῶ καθὰ προείρηται.

Τὸ ὑφ’ Ἥρα γεγραμμένον πρὸς ὑπώπια, αἴροντος, ὥς φησιν, ὥραις τρισίν. Προσκαταπλάττειν δὲ ἀξιοῖ φλεγμονῆς γενομένης τυρῷ χλωρῷ καὶ ἄρτῳ πυριᾷν. ἢ ⁋ κωνείου χυλοῦ ὀβολοὺς β′. κρόκου ⸂ β′. σμύρνης ⸂ α′. ἀκακίας ⸂ α′. ὀπίου ⸂ β′. θαψίας χυλοῦ ⸂ α′. κόμμεως ⸂ α′. ὕδωρ. τοῦτο μὲν ὁ Ἥρας ἔγραψεν. ἐγὼ δὲ ἐπειράθην καρύου, διὰ χρόνου ἤδη γεγονότος ἐλαιηροῦ, θεραπεύσαντος ἐνίοτε τοὺς αἰμάλωπας. δεῖ δὲ δηλονότι τρίβειν ἐπιμελῶς αὐτὸ καὶ οὕτως ἐπιτιθέναι κατακλίναντα τὸν ἄνθρωπον ὕπτιον, ὅπως προσμείνῃ τὸ φάρμακον ὥραις δύο καὶ γ′. οὕτω γὰρ ποιήσαντος, εἰ καὶ μετὰ ταῦτα ἀνασταίη, προσμένει μέχρι πολλοῦ,

καὶ χρὴ δηλονότι τοῦ προτέρου ἀποπεσόντος, ἕτερον εὐθέως τιθέναι. τοῦ αὐτοῦ Ἥρα πρὸς αἰγίλωπας. ϟ μαλάχης φύλλα μετὰ ἁλῶν καὶ μέλιτος
12.820 λειώσας ἐπίθες, ἀνασκευάζει αἰγίλωπας. καὶ χόνδρον ἑψήσας ὄξει, ἐπίθες ἀρχομένῳ αἰγίλωπι. ἢ μυρσίνης νεαρωτάτῳ καρπῷ κατάπλασσε, ὅταν ῥευματίζηται. ὡσαύτως δὲ ποιεῖ καὶ ἡ Λημνία ἐπιχριομένη.

Περὶ αἰγίλωπος. Ὅμοιον ἀποστήματι μικρῷ γίνεταί τι, μεταξὺ τοῦ τε τῆς ῥινὸς ὀστοῦ καὶ τοῦ μεγάλου κατὰ τὸν ὀφθαλμὸν κανθοῦ, καὶ συρρήγνυται δὲ πολλάκις εἰς τὸν κανθὸν, ὡς δυσθεράπευτον γενέσθαι φθάνειν. χρὴ οὖν θεραπεύειν αὐτὸ διαφορητικοῖς φαρμάκοις, ὅσα χωρὶς δήξεως ἐνεργεῖ. συμπάσχει τε γὰρ ὁ ὀφθαλμὸς ἐπὶ τοῖς δριμέσιν, οὕτω τε τὸ πεπονθὸς μόριον αὐξάνεται φλεγμαῖνον. οὐ μόνον δὲ διὰ τοῦτο δυσθεράπευτόν ἐστι τὸ πάθος, ἀλλὰ καὶ διότι πολλῶν φαρμάκων ὑγρῶν κατὰ τὴν σύστασιν εἰς πεῖραν ἄγεσθαι δυναμένων οὐκ ἀνέχεται τὸ μέρος. εἰσρεῖν γὰρ ἐξ αὐτῶν εἰς τὸν ὀφθαλμὸν ἀναγκαῖον, οὐ μὴν οὐδὲ προσμεῖναι δύνανται τὰ τοιαῦτα χωρὶς ἐπιδέσεως ἐπιλαμβανούσης ὅλον τὸν ὀφθαλμὸν, ἣν οὐχ οἷόν τε φέρειν ἡμέραις τοσαύταις ὅσον εἰς
12.821 θεραπείαν χρῄζει τὸ πάθος. διὰ τοῦτο οὖν ὁ μὲν Ἀπολλώνιος οὐδὲν ἔγραψε τῶν πρὸς αἰγίλωπας φαρμάκων· ὁ δ’ Ἀρχιγένης ὀλίγων μνημονεύσας ἐφεξῆς αὐτῶν ἔγραψε τὴν διὰ χειρουργίας αὐτῶν θεραπείαν, καίτοι τῆς πραγματείας οὐ χειρουργικῆς, ἀλλὰ τῶν περὶ τῶν κατὰ γένος φαρμάκων οὔσης. ὅλην οὖν αὐτοῦ παραγράψω τὴν ῥῆσιν ὧδέ πως ἔχουσαν.

Τὰ ὑπ’ Ἀρχιγένους γεγραμμένα πρὸς αἰγίλωπας, ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων. Τοὺς δὲ γινομένους περὶ τοὺς κανθοὺς αἰγίλωπας καταπλάττομεν ὀρόβοις μετὰ μέλιτος, ἢ σποδὸν ἀμπελίνην ὄξει φυράσαντες. καλῶς ποιεῖ καὶ λιβανωτὸς μετὰ περιστερᾶς κόπρου νεαρᾶς καταπλασθεῖσα. ἢ χυλὸν αἰγίλωπος βοτάνης μετὰ μέλιτος ἔγχριε. ἐπὶ δὲ τῶν μήπω συντετρημένων σταφίδα ἀγρίαν καὶ ἀμμωνιακὸν θυμίαμα σὺν μέλιτι ὡς σπλήνιον ἐπίθες. ἢ σχιστὴν μετὰ τερμινθίνης ὡς σπλήνιον ἐπίθες. ἢ λαγωοῦ θαλασσίου αἵματι κροκύδα βάψας ἐντίθει. ἢ μελαντηρίαν λεάνας προσάπτου. εἰ δὲ μηδ’ οὕτως ἀφυγιάζοιντο, διελὼν τὸν κανθὸν καὶ διαστήσας κατατίτρα λεπτῷ τρυπανίῳ συνεχεῖς

12.822 κατατρήσεις, εἶτα τῇ κεφαλικῇ χρῶ, ἀποστήσονται γὰρ λεπίδες καὶ ὑγιασθήσονται. ἢ καυτήριον ἐπέρειδε, ψιλώσας τὸ ὀστέον, καὶ οὕτω λεπίδες ἀφίστανται καὶ ὑγιάζονται. ἔνιοι δὲ διελόντες τὸν κανθὸν ἐπερείδουσι τῷ ὀστέῳ, καθὸ τέτρηται χωνεῖον λεπτὸν καὶ μόλυβδον τετηκότα ἐγχέοντες καίουσι καὶ ἄριστα οὕτως ὑγιάζουσιν. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν.

Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα πρὸς αἰγίλωπας. Ὁ δὲ Ἀσκληπιάδης ἐν τῷ πρώτῳ τῶν ἐκτός. ἰλλεκέβρας χυλοῦ λίτρας . στρύχνου χυλοῦ λίτρας . λιβάνου η . μαστίχης γ . χαλβάνης λίτρας . ἔψε τοὺς χυλοὺς μετὰ τοῦ λιβάνου καὶ ὅταν διαλυθῇ, ἐπίβαλλε τὴν χαλβάνην, τὴν δὲ μαστίχην παραιτούμεθα. ἄλλο. λιβάνου η . σμύρνης η . λαδάνου δ . κηροῦ δ . σχιστῆς, πιτύας λαγωοῦ ἀνὰ δ . ἀφρονίτρου δ . κόπτε τὸ φάρμακον καὶ μάλασσε ἰρίνου μύρου ὑποστάθμῃ.

Περὶ ἰόνθων, συκωδῶν ὄγκων, λειχηνωδῶν καὶ ἐξανθημάτων καὶ
12.823 δοθιηνῶν. Ὄγκος μικρὸς καὶ σκληρὸς ἐν τῷ κατὰ τὸ πρόσωπον δέρματι γίνεται καλούμενος ἴονθος, ὑπὸ παχέος δηλονότι χυμοῦ συνιστάμενος, ἐνδεικνύμενός τε τὴν ἑαυτοῦ θεραπείαν εὐλόγως ἐσομένην διὰ φαρμάκων μαλαττόντων τε καὶ διαφορούντων. ἡ μὲν γὰρ σκληρότης αὐτοῦ τῶν μαλαττόντων, ὁ δὲ παρὰ φύσιν ὄγκος τῶν διαφορούντων δεῖται. προειρηκότος οὖν ἤδη μου πολλάκις ἔν τε τοῖς ἔμπροσθεν ὑπομνήμασι κἀν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, τὰς ὕλας τῶν διαφορούντων τε καὶ μαλαττόντων φαρμάκων, ἡ τῶν κατὰ μέρος σύνθεσις ὑπὸ τῆς πείρας κεκριμένη χρήσιμος ἔσται πρὸς τὸ καλῶς χρῆσθαι τοῖς εἰρημένοις, ἃ μετ᾽ ὀλίγον εἰρήσεται, διορίσαντός μου πρότερον, ὅσα παραπλήσια τοῖς ἰόνθοις ἐστὶ πάθη, διαφορὰν ἔχοντα κατά τι πρὸς αὐτούς.

Περὶ συκωδῶν ὄγκων. Ἕν τι τοῦτο πάθημα τῶν ἐπὶ τοῦ γενείου γεννωμένων ἐστὶ, διαφέρον τοῦ κατὰ τοὺς ἰόνθους τῷ μὴ μόνον παχὺν εἶναι τὸν ἐργαζόμενον αὐτὰ χυμὸν, ἀλλὰ καὶ λεπτότητος ἰχωροειδοῦς μετέχειν, δι᾽ ἣν καὶ ταχέως ἑλκοῦται μὴ θεραπευόμενον ὡς προσήκει, καὶ
12.824 διὰ τοῦτο δεῖται ξηραντικωτέρων ἢ κατὰ τοὺς ἰόνθους φαρμάκων.

Περὶ τῶν ἐν τῷ γενείῳ λειχηνωδῶν ὄγκων. Καὶ τοῦτο τὸ πάθος ἐκ μικτοῦ τινος γίνεται χυμοῦ μεμιγμένων τῶν ἰχωροειδῶν τε καὶ λεπτῶν καὶ δριμέων τοῖς παχέσι, καὶ διὰ τοῦτο ῥᾳδίως εἰς ψώραν τε καὶ λέπραν μεταπίπτει, δεόμενον καὶ αὐτὸ τῶν ἰσχυρῶς ξηραινόντων φαρμάκων. ὅταν δ' εἰς ψώραν ἢ λέπραν μεταπέσῃ, πρὸς τῷ τῶν ξηραινόντων δεῖσθαι φαρμάκων, ἔτι καὶ τῶν ῥυπτόντων χρῄζει.

Περὶ τῶν ἐν τοῖς γενείοις ἐξανθημάτων. Κοινόν γε τοῦτο τοὔνομα, κατὰ τῶν αὐτομάτως γιγνομένων ἑλκωδῶν τε καὶ τραχέων ἐν τοῖς γενείοις παθημάτων ἐπιφέρουσιν ἔνιοι, καθάπερ γε καὶ ὁ Ἀρχιγένης ξηραντικῶν καὶ αὐτὸ δεόμενον φαρμάκων.

Περὶ τῶν δοθιήνων. Ἐκ παραπλησίων τοῖς ἰόνθοις χυμῶν οἱ δοθιῆνες γίνονται καθ' ὅλον τὸ σῶμα διττοί πως ὄντες· ἔνιοι μὲν, ὡς ἂν εἴποι τις,
12.825 ἰονθώδεις, σκληροὶ καὶ δύσπεπτοι, τινὲς δὲ φλεγματώδεις, ἐφ' ᾧν καὶ πυρετοὶ συνίστανται ἐνίοτε καὶ μέγεθος ὁ ὄγκος ἔχει καὶ μεταβολὴν εἰς πῦον, ὅθεν καὶ ἡ θεραπεία τὸ πλεῖστον ἔχει αὐτῶν τῆς φλεγμονῆς.

Ἐκ τῶν Κρίτωνος πρὸς ἰόνθους. Κρίτων μὲν ἐν τῷ τρίτῳ τῶν κοσμητικῶν οὕτως ἔγραψεν αὐτοῖς ὀνόμασι πρὸς ἰόνθους τοὺς ἐν τοῖς προσώποις. ϗ μέλιτος Ἀττικοῦ ϰυ α΄. ἤτοι ≤ ιβ΄. ὄξους δριμυτάτου τὸ ἴσον, μίξας ἐπιμελῶς ἐπίχριε τοὺς ἰόνθους τῷ δακτύλῳ ἐπιχρίων καὶ παρατρίβων. ἄλλο. ϗ λιθαργύρου χήμην, ἤτοι ≤ γ΄. τερμινθίνης καθαρᾶς κυάμου Αἰγυπτίου μέγεθος, εἶτα βαλὼν ἐλαίου λευκοῦ ὀλίγον, ἔπειτα προαποσμήξας τὸ πρόσωπον λάμβανε τοῦ φαρμάκου βραχὺ τῷ δακτύλῳ, ἔπειτα ἀμφοτέραις ταῖς χερσὶ διατρίψας περιάλειφε τοὺς ἰόνθους τοῦτο καὶ τετανὸν καὶ καθαρὸν διαφυλάττει τὸ πρόσωπον. ἄλλο. ἀμύγδαλα πικρὰ ὄξει διαλύσας καὶ τρίψας ἐπιμελῶς κατάχριε τὸ πρόσωπον. σχιστὴν λεάνας ἐπιμελῶς ἀναλάμβανε τερμινθίνῃ καὶ μαλάξας ἐπιτίθει. ἄλλο.
12.826 κόστον Ἰνδικὸν κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ, ἀναλάμβανε αἰγείᾳ χολῇ καὶ ποιήσας κηρωτῆς τὸ πάχος, ἐπίχριε τοὺς ἰόνθους περὶ ἑσπέραν, καὶ πρωῒ ἀναστὰς κέλευε γάλακτι τῷ παθόντι προσκλύζεσθαι τὸ πρόσωπον. ἐγχρονιζόντων δὲ τῶν ἰόνθων χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις.

Πρὸς τετυλωμένους ἰόνθους. ⁋ Σάπωνος Γαλλικοῦ δραχμὰς δ΄. ἀμμωνιακοῦ θυμιάματος ‹ α΄. λιβανωτοῦ ‹ α΄. ὕδατι διαλύσας ποίει κηρωτῆς τὸ πάχος, τούτῳ ἐπιχρίσας καὶ διαστήσας ὥραν μίαν, ἀπονίπτεσθαι παραίνει χλιαρῷ. ἄλλο. ⁋ νίτρου ἐρυθροῦ, ὑσσώπου, γλήχωνος, ἁλῶν ὀρυκτῶν τὸ ἴσον, κόψας, σήσας λεπτοτάτῳ κοσκίνῳ, ἀναλαβὼν κηρωτῇ ῥοδίνῃ χρῶ. ἄλλο. ⁋ ὠκίμου σπέρματος, νίτρου ἐρυθροῦ, γλήχωνος χλωροῦ, σχιστῆς, κόστου Ἰνδικοῦ, κόψας, σήσας, ὁμοῦ ἀναλαβὼν στέατι χηνείῳ ἢ ὀρνιθείῳ, ὥστε κηρωτῶδες ἔχειν τὸ πάχος, ἐκ τούτου ἔμπλασσε εἰς ὀθόνιον καὶ ἐπιτίθει μέχρι παντελοῦς ἀπαλλαγῆς. ἄλλο. ⁋ ἁλῶν ὀπτῶν, γλήχωνος, ὑσσώπου, ἀμμωνιακοῦ θυμιάματος, ῥοῦ βυρσοδεψικοῦ, ἑκάστου τὸ ἴσον, κηρωτῇ ῥοδίνῃ ἀναλαβὼν, ἐπιτίθει μέχρι ἀπαλλαγῆς.

12.827 Πρὸς τὰς ὀχθώδεις διαθέσεις καὶ τοὺς ἐπὶ τοῦ προσώπου κνησμοὺς καὶ ἀρχὴν ἐλεφαντιάσεως. ⁋ Κόμμεως λευκοῦ, νίτρου ἀφροῦ, λιβανωτοῦ, θείου ἀπύρου, ἑκάστου τὸ ἴσον ὄξει διαλύσας καὶ τρίψας ἐπιμελῶς, ἀνάπλασσε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ, ἐπὶ δὲ τῆς χρήσεως ὄξει διαλύων ἐπίχριε. ὅταν δὲ ξηρανθῇ, ἀπόσμηχε τῇ ὑπογεγραμμένῃ σκευασίᾳ. ⁋ σάπωνος Γαλλικοῦ λίτραν μίαν, ἀμμωνιακοῦ θυμιάματος τὸ ἴσον, λιβανωτοῦ γο γ ′. μαστίχης γο γ ′. ἀφρονίτρου γο γ ′. ἔψε σάπωνα καὶ ἀμμωνιακὸν, εἰς ἀγγεῖον κεραμεοῦν ἐμβαλὼν καὶ ὕδατος β ′. καὶ ὅταν διαλυθῇ, ἐπίβαλε τὰ ξηρὰ, κεκομμένα καὶ σεσησμένα λεπτοτάτῳ κοσκίνῳ, ἔπειτα μεταίρων εἰς θυΐαν καὶ ἀνακόψας ἐπιμελῶς ἀνελοῦ εἰς ἀγγεῖον ὑέλινον, ἐπὶ δὲ τῆς χρήσεως μολύνων τὸ πρόσωπον καὶ μικρὸν διαστήσας ἀπονίπτου ὕδατι δαψιλεῖ προανατρίβων μαλακῶς. χρηστέον δὲ τῷ σμήγματι παρ᾽ ὅλην τὴν ἐπιμέλειαν τῶν ἰόνθων.

Πρὸς τὰς ἐπὶ τοῦ γενείου συκώδεις ἐπαναστάσεις. Ὁ μὲν Κρίτων ἐν τῷ
12.828 τρίτῳ τῶν κοσμητικῶν οὕτως ἔγραψε περὶ αὐτῶν πρὸς τὰς ἐπὶ τοῦ γενείου συκώδεις ἐπαναστάσεις, ὡς Λεύκιος ὁ καθηγητής. ⁋ λιθαργύρου, μίσυος ὠμοῦ τὸ ἴσον τρίψας κατάπλασσε. ἄλλο. ⁋ λιβανωτοῦ ‹ β΄. λιθαργύρου δραχμὰς δ΄. ἁλῶν ὀρυκτῶν ‹ η΄. σανδαράχου δραχμὰς β΄. λείοις κατάπλασσε. ἄλλο. ⁋ ψιμυθίου ‹ δ΄. μίσυος ὠμοῦ ‹ δ΄. ἁλῶν ὀρυκτῶν δραχμὰς β΄. σανδαράχης ‹ β΄. λείοις κατάπλασσε. ἄλλο. ⁋

χαλκάνθης δραχμὰς β΄. θείου ἀπύρου ‹ β΄. ἰοῦ ‹ α΄. νίτρου ἐρυθροῦ δραχμὰς β΄. λείοις κατάπλασσε. ἄλλο. ⳨ ἐλατηρίου δραχμὰς δ΄. ἁλῶν ὀρυκτῶν ‹ δ΄. χαλκάνθου ‹ β΄. μίξας κατάπλασσε, παραπτόμενος πυρῆνι μήλης καθύγρου, ὥστε τὸ φάρμακον προσκαθίσαι. μετὰ δὲ τὴν τοῦ φαρμάκου ἐπίθεσιν χρηστέον λίνου σπέρματι λεανθέντι μεθ᾽ ὕδατος. καθύγρων δὲ ὄντων τῶν ἑλκῶν, καὶ γὰρ ἀπ᾽ αὐτῶν ὕδωρ καθαρὸν ἀπορρεῖ, ὥσπερ ἀπὸ πηγῆς, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. τροχίσκος πρὸς τὰς ἐπὶ τῶν γενείων συκώδεις ἐπαναστάσεις. ἐχρήσατο Ἀρτεμίδωρος, ἔστι δὲ καὶ παντὸς ὄγκου κατασταλτικὸς, ὃς συμβαίνει ἐπὶ
12.829 τῶν κακῶς συνουλωκότων, ὥσπερ ἐπὶ τῶν συνερραμμένων, ἡ δὲ σύνθεσις ἥδε. ⳨ λεπίδος χαλκοῦ δραχμὰς δ΄. χαλκάνθου δραχμὰς β΄. σχιστῆς δραχμὰς β΄. κόλλης τεκτονικῆς διαυγοῦς δραχμὰς β΄. τὰ ξηρὰ κόπτεται καὶ σήθεται, ἡ δὲ κόλλα ὄξει βρέχεται καὶ τοῖς λελειωμένοις ἐπιβάλλεται ὑγροῖς καὶ πάλιν λεαίνεται καὶ τροχίσκους ἀναπλάσσομεν, ἐπὶ δὲ τῆς χρήσεως ὄξει διαλύοντες ἐπιχρίομεν, καὶ σύριγγας ἐκτυλοῖ.

Μάγνου κλινικοῦ. ⳨ Στυπτηρίας σχιστῆς, ἰοῦ Κορινθίου, μίλτου σινώπιδος, χαλκίτεως, κόλλης τεκτονικῆς τὸ ἴσον, συντίθει καὶ χρῶ καθὰ προείρηται.

Ἀρείου Ἀσκληπιαδείου. Μίλτου σινώπιδος, ἰοῦ Κορινθίου, σχιστῆς, κηκίδος ὀμφακίτιδος, σιδίων ῥοιᾶς τὸ ἴσον, κόμμεως τὸ διπλοῦν, ὄξει ἀναλαβὼν χρῶ ὡς προείρηται.

Ἀπολλωνίου, ὡς Χαρίξενος. ⳨ Λεπίδος χαλκοῦ, μίσυος ὀπτοῦ, ἀρσενικοῦ, ἑκάστου δραχμὰς β΄. διφρυγοῦς ‹ γ΄. χαλκοῦ κεκαυμένου ‹ δ΄. χαλκίτεως
12.830 κεκαυμένης ‹ δ΄. κόλλης τεκτονικῆς ‹ δ΄. ὄξει διαλύσας, ἀνάπλαττε τροχίσκους καὶ χρῶ καθὰ προείρηται.

Ἄνδρωνος φάρμακον ἐπιτετευγμένον. ⳨ Χαλκάνθου δραχμὰς β΄. σμύρνης ‹ β΄. λιβανωτοῦ δραχμὰς δ΄. σχιστῆς ‹ δ΄. σιδίων ‹ η΄. κηκίδων δραχμὰς η΄. ἀριστολοχίας δραχμὰς η΄. οἴνῳ αὐστηρῷ ἀναλαβὼν χρῶ καθὰ προείρηται.

Κρίτωνος πρὸς τοὺς ἐπὶ τῶν γενείων λειχῆνας. Ἐφεξῆς τούτων, ὁ Κρίτων ἔγραψε πρὸς τοὺς ἐπὶ τῶν γενείων λειχῆνας ὧδέ πως. πρὸς δὲ τοὺς ἐπὶ

τῶν γενείων λειχῆνας πάθος ἀηδέστατον, καὶ γὰρ κνησμοὺς ἐπιφέρει καὶ περίστασιν τῶν πεπονθότων καὶ κίνδυνον οὐκ ὀλίγον, ἕρπει γὰρ ἔστιν ὅτε καθ' ὅλου τοῦ προσώπου, καὶ ὀφθαλμῶν ἅπτεται καὶ σχεδὸν τῆς ἀνωτάτω δυσμορφίας ἐστὶν αἴτιον, καὶ διὰ τοῦτο χρηστέον ἂν εἴη ἐπιμελέστερον τῇ θεραπείᾳ, ἐφορῶντα τοὺς παροξυσμοὺς καὶ τὰ διαλείμματα καὶ συγκρίνοντα ἀπὸ τῶν κεχρονισμένων τὰ νεοσύστατα,
12.831 ἐφ' ὧν ἁρμόσει χρῆσθαι τοῖς ξηραίνουσι φαρμάκοις. ὅταν δ' εἰς ψώραν ἢ λέπραν μεταπέσῃ, πρὸς τοῖς ξηραίνουσι χρῆσθαι καὶ τοῖς ῥύπτουσιν, ἔπειτα δὲ καὶ ταῖς ὑπογεγραμμέναις σκευασίαις.

Κρίσπου τοῦ φίλου πρὸς τοὺς ἐπὶ τῶν γενείων προσφάτους λειχῆνας ἢ ἄλλο τι μέρος τοῦ προσώπου. Πυροὺς πολλοὺς λαμβάνων, ἐπιτίθει ἐπί τινος ἄκμονος, εἶτα πλάτυσμα χαλκοῦν πυρώσας ἐπιτίθει τοῖς πυροῖς καὶ τὸ ἀνιέμενον ἐξ αὐτῶν ὑγρὸν ἔτι θερμὸν ἀνελὼν ἐπίχριε τοὺς λειχῆνας. τούτῳ μόνῳ πολλοὺς θεραπευθέντας ἱστορήσαμεν. ἄλλο. μαλάχης ἀγρίας τὸν καρπὸν ἁπαλὸν ὄντα καθαρίσας συλλέγων, κόψας τὸν χυλὸν ἀπόθου καὶ τούτῳ συνεχῶς ἐπίχριε. ἄλλο. ἀνδράχνης χυλὸν κατάχριε συνεχῶς. ἄλλο. ἐλαίας Αἰθιοπικῆς δάκρυον τρίψας μεθ' ὕδατος καὶ στύρακος ὀλίγον ἐπιβαλὼν καὶ μίξας ἐπιτίθει. ἄλλο. πτελέας δάκρυον ὕδατι διαλύων ἐπιτίθει. ἐγχρονιζόντων δὲ τῶν λειχήνων χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις πρὸς τοὺς ἐγχρονίζοντας. ἀσφοδέλου ῥίζαν ἐν ὄξει ἑψήσας καὶ τρίψας ἐπίχριε. ἄγνου τὰ φύλλα τρίψας ὄξος ἐπιβαλὼν ὀλίγον κατάπλασσε. καππάρεως τὰ φύλλα τρίψας μετ' ὄξους ἐπιτίθει. λαπάθου ἡμέρου τὸν φλοιὸν τῆς ῥίζης μετ' ὄξους λεάνας
12.832 κατάπλασσε προεκνιτρώσας. χαμαιλέοντος ῥίζαν ἐν ὄξει ἑψήσας καὶ τρίψας κατάπλασσε. πρὸς δὲ τὴν τῶν λειχήνων ἐπιμέλειαν, ἐπεὶ τὰ κατὰ μέρος πολλά ἐστι καὶ ποικίλα, ἐν μέρει περὶ ἑκάστου ἐρῶ, ἄρξομαι δὲ ἀπὸ σῶν λεγομένων τροχίσκων.

Τροχίσκος λειχηνικός. ℈ Κόλλης τεκτονικῆς ‹ δ′. ἐν ἄλλῳ δραχμὰς β′. θείου ἀπύρου ‹ β′. χαμαιλέοντος δραχμὰς δ′. λιβανωτοῦ ‹ β′. ὄξους κοτύλης ′′. ἡ κόλλα ὄξει διαλύεται, εἶτα ἐπιβάλλεται τοῖς ξηροῖς. ἐπὶ δὲ τῆς χρήσεως ὄξει διαλύων, ὅσον ἐξαρκεῖ θερμαίνων ἐπιτίθει. ἐν ἄλλοις ἴσα ἔχει. ἄλλος. ℈ χαμαιλέοντος, θείου ἀπύρου ἀνὰ ‹ δ′. ἐλαίας

Αἰθιοπικῆς δακρύου δραχμὰς β′. λιβανωτοῦ δραχμὴν μίαν, ὄξους ὅσον ἐξαρκεῖ. παρ᾽ ἄλλοις. ⁊ ἀλκυονίου ‹ β′. χαμαιλέοντος μέλανος δραχμὰς δ′. πυρέθρου ‹ β′. θείου ἀπύρου δραχμὰς δ′. λιβανωτοῦ ‹ δ′. ταυροκόλλης δραχμὰς δ′. ὄξους δριμυτάτου κοτύλας δ′. ἄλλος. ⁊ ἐλαίας Αἰθιοπικῆς δραχμὰς δ′. θείου ἀπύρου ‹ δ′. ἀλκυονίου ‹ η′. ἀφρονίτρου δραχμὰς η′. ἄλικος ἐν ὄξει ἑψημένου ‹ η′. τὸ αὔταρκες ὄξους. ἄλλος. ⁊
12.833 ἀλκυονίου κεκαυμένου ‹ β′. χαμαιλέοντος μέλανος ‹ δ′. ἀσφοδέλου ῥίζης ‹ δ′. θείου ἀπύρου ‹ β′. λιβανωτοῦ ‹ β′. πυρέθρου ‹ β′. νίτρου ἀφροῦ ‹ β′. ταυροκόλλης ‹ δ′. ὄξους τὸ αὔταρκες. ἐπιτεινομένης δὲ τῆς διαθέσεως καὶ τυλώδους γενομένης, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. ὑγρὰ πρὸς λειχῆνας διαθέσεις. ⁊ μίσυος ξενικοῦ, λιβάνου, σμύρνης σχιστῆς, ἑκάστου ‹ η′. ἀλόης, θείου ἀπύρου ἀνὰ ‹ δ′. ἀναλάμβανε γλυκεῖ, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος, καὶ δὶς ἢ τρὶς τῆς ἡμέρας προαποσμήχων ἐπίχριε καὶ ἔξωθεν ἐπιτίθει φυλακῆς χάριν τοῦ φαρμάκου, κύστεως ὑμένα ἢ ὠοῦ τῶν λεπύρων ἢ χλωρῶν φύλλων ὅσον ἐξαρκεῖ. ἄλλο. ⁊ μίσυος ‹ δ′. ἀκακίας ‹ β′. λεπίδος χαλκῆς ‹ δ′. θείου ἀπύρου ‹ στ′. χαλκίτεως ‹ η′. κόμμεως ‹ η′. ὄξους ὅσον ἐξαρκεῖ. ὅταν δὲ διαλυθῇ, ἀμόργην ἐπιβαλὼν καὶ ἀνακόψας ἐπιμελῶς ἀνελόμενος χρῶ, ὡς προείρηται. ἄλλο. ⁊ θείου ἀπύρου, λιβάνου, σμύρνης, χαλκάνθου, μίσυος ὠμοῦ ἑκάστου ‹ β′. κόμμεως ‹ δ′. ὄξει διαλύσας καὶ κεδρίνῳ ἐλαίῳ ὅσον ἐξαρκεῖ χρῶ ὁμοίως.

12.834 Ἐκ τῶν Ζεύξιδος. ⁊ Χαλκίτεως ὠμῆς, μίσυος ὠμοῦ, σμύρνης Ἀμιναίας, θείου ἀπύρου τὸ ἴσον, κόμμεως τὸ διπλοῦν, ὄξει διαλύσας, ἀναλάμβανε κεδρίνῳ ἐλαίῳ· δεῖ δὲ τὸ κέδρινον πρότερον ἕψειν, ὡς μέλιτος ἔχειν πάχος. ἄλλο Διοδώρου. ⁊ δάκρυον Αἰθιοπικῆς ἐλαίας ‹ η′. κόμμεως ‹ μ′. χαλκάνθου δραχμὰς ιστ′. θείου ἀπύρου ‹ ι′. λιβάνου ‹ ι′. ἰοῦ ‹ ι′. ἀκακίας ‹ ι′. σμύρνης Ἀμιναίας ‹ ι′. ὄξους τὸ αὔταρκες, καὶ ὅταν διαλυθῇ καὶ λειότατον γένηται, ἕκαστον αὐτῶν ἀναλάμβανε συνεστραμμένῃ ἀμόργῃ καὶ ἀνελόμενος χρῶ, συναπτέον δὲ τούτοις καὶ ἄλλας σκευασίας.

Περίχριστος ἐφθὴ πρὸς λειχῆνας χρονίους, ὥστε χωρὶς ἑλκώσεως ἀπαλλάττειν. Χαλκάνθου, τήλεως ἀληλεσμένης, καρδαμώμου ἀνὰ δραχμὰς β . μελανθίου δραχμὴν μίαν . συκῆς ἡμέρου φύλλων

δραχμὴν μίαν . ὄξους δριμέος τὸ ἱκανὸν, λεῖα ποιήσας μίξον ὥστε μέλιτος ἔχειν τὸ πάχος, εἶτα ἔψε, καὶ ὅταν μέλαν γένηται καὶ συνεστραμμένον, αἴρων ἐπίχριε προαπονίπτων αὐτούς.

12.835 Ἡρακλείδου Ταραντίνου λειχηνικὴ, ὥστε χωρὶς ἑλκώσεως ἀπαλλάττειν. ⁋ Ἀλφίτων δραχμὰς η′. ταυροκόλλης δραχμὰς στ′. χαλκάνθου δραχμὰς δ′. χαλκίτεως δραχμὰς δ′. θείου ἀπύρου δραχμὰς δ′. ἀφρονίτρου δραχμὰς στ′. ἀλκυονίου δραχμὰς δ′. σμύρνης Ἀμιναίας ∢ β′. ὄξους κοτύλας γ′. Διονυσίου συμμαθητοῦ, ὥστε δίχα ἑλκώσεως ἀπαλλάττειν. ⁋ ἀλεύρου κριθίνου α′. χαλκάνθου γο α′. λαπάθου ἀγρίου τῶν ῥιζῶν τῶν φλοιῶν δραχμὴν μίαν. θείου ἀπύρου ∢ α′. σμύρνης γο α′ ′. κόμμεως γο α′. ὄξους κοτύλας στ′. ἔψε λαπάθου ῥίζαν. ὅταν δὲ διαλυθῇ, ἐξελὼν τρῖβε, τὸ δὲ κρίθινον λαβὼν εἰς τὸ λειπόμενον ὑγρὸν ἔψε, καὶ ὅταν εὖ ἔχῃ, ἐπίβαλε τὰ λοιπὰ καὶ ἀνελόμενος χρῶ.

Σωκρατίωνος ἐφθή. ⁋ Ἄλικος ἀληλεσμένου στ′. θείου ἀπύρου ∢ ιστ′. μίσυος ξενικοῦ δραχμὰς ιστ′. χαλκίτεως ∢ ιστ′. κιμωλίας δραχμὰς ιστ′. ἀφρονίτρου ∢ η′. ἀλκυονίου δραχμὰς η′. σχιστῆς δραχμὰς η′. ἀσφοδέλου
12.836 ῥίζης ∢ η′. σμύρνης δραχμὰς η′. λιβάνου δραχμὰς η′. ἐλαίας δακρύου ∢ η′. ἀμμωνιακοῦ θυμιάματος δραχμὰς η′. ὄξους κοτύλας γ′. ἔψε ἀλκυόνιον ἀσφόδελον ὄξος, ὅταν δὲ εἰς ἥμισυ καταντλήσῃ, διύλιζε. ἐκ δὲ τοῦ διυλίσματος ἀνάλυε ἀμμωνιακὸν καὶ σμύρναν, λίβανον, ἐλαίας δάκρυον, εἶτα τρίβεται, εἶτα ἐπιβάλλεται τούτοις τὰ ξηρά. τὸν δὲ ἄλικα ἔψε ἐν τῷ ὑπολειφθέντι ὑγρῷ, καὶ ὅταν διαλυθῇ, ἐπίβαλλε τοῖς λοιποῖς καὶ τρῖβε ὁμοῦ καὶ χρῶ. ἐν ἄλλαις συναγωγαῖς ἔχει οὕτω. ⁋ θείου ἀπύρου, μίσυος ξενικοῦ, χαλκίτιδος, ἑκάστου ∢ ιστ′. νίτρου σχιστοῦ, ἀλκυονίου, ἀσφοδέλου ῥίζης, λιβανωτοῦ, ἐλαίας δακρύου, κιμωλίας γῆς, ἀμμωνιακοῦ θυμιάματος, ἑκάστου ἀνὰ ∢ η′. ὄξους κο α′. ἄλλη σφόδρα ἐνεργής. ⁋ ὄξους δριμυτάτου στ′. ἀλεύρου κριθίνου β′. μάννης α′. λαπάθου ἀγρίου ῥίζης δραχμὰς η′. ἐλλεβόρου λευκοῦ ∢ ι′. ἀλκυονίου δραχμὰς ιε′. καρδαμώμου ∢ α′. κιμωλίας γῆς ∢ η′. ταυροκόλλης δραχμὰς ιστ′. ἀφρονίτρου ∢ ιστ′. ἁλικακάβου δέσμιον χειροπληθὲς τῶν ἀκρεμόνων χλωρῶν συντίθει. ἐπεὶ δὲ οἱ πολλοὶ τὰς μὲν τῶν
12.837 ἐπιχριομένων φαρμάκων δυνάμεις παραιτοῦνται, αἱροῦνται δὲ μᾶλλον

τὰς τῶν ἐμπλάστρων ἐπιθέσεις, αἵτινες οὔθ᾽ ἱδρώτων ἐπιγενομένων περιρρέουσιν οὔτε ξηραινόμεναι περιτείνουσι τὸν χρῶτα, συναπτέον ἂν εἴη καὶ τὰς τοιαύτας σκευασίας.

Ἔμπλαστρα λειχηνικὰ, ὥστε χωρὶς ἑλκώσεως ἀπαλλάττειν. Κηροῦ, πίσσης ἑφθῆς, λιβανωτοῦ, τερμινθίνης, θείου ἀπύρου, ἑκάστου ἀνὰ λίτραν . τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἄλλο. λιβάνου η . στυπτηρίας η . χαλκάνθου η . θείου ἀπύρου δραχμὰς δ . ταυροκόλλης δ . χαμαιλέοντος ῥίζης δραχμὰς δ . κηροῦ η . πίσσης ὠμῆς κοτύλας β . ἔψε πίσσαν, ταυροκόλλαν, καὶ ὅταν συστραφῇ, ἐπίβαλλε κηρὸν, καὶ κατέρα κατὰ τῶν ξηρῶν καὶ ἀνελόμενος χρῶ.

Ἄλλο ποιεῖ πρὸς τοὺς ἐπαιρομένους λειχῆνας, ὥστε καταστέλλειν τὰ δοκοῦντα ὑπολείπεσθαι. ℞ Μάννης λιβάνου, πίσσης ἀνὰ ‹ η′. ἀσφάλτου ‹ η′. κηροῦ δραχμὰς η′. πιτυΐνης ‹ η′. θείου ἀπύρου δραχμὰς η′. ἐλαίου
12.838 Κυπρίνου ὀλίγον, ἔψε, ὡς προείρηται, καὶ ἀνελόμενος χρῶ καὶ ἔμπλασσε εἰς ὀθόνιον ἢ δέρμα λεπτόν.

Ἄλλο χωρὶς ἑλκώσεως ἀπαλλάττει. ℞ Πίσσης βρυτίας ὑγρᾶς α′. μάννης λίτραν α′. θείου ἀπύρου λίτραν α′. θερμίνου ἀλεύρου λίτραν α′. συντίθει κατὰ τρόπον, εἶτα ἐπίβαλλε χαλβάνης γο β′. ἔστι δὲ τῶν ἄγαν σπουδαίων. ἐν ἄλλαις γραφαῖς οὐκ ἔχει τὸ ἄλευρον, οὐδὲ τὴν χαλβάνην.

Φιλώτου λειχηνικὸν ἐπιτετευγμένον χωρὶς ἑλκώσεως ἀπαλλάττει. ἐδόθη ὑπὸ Φιλώτου τοῦ ἑταίρου, διὰ στίχων ἀναγέγραπται. ℞ Χαλκίτεως ὀπτῆς, χρυσοκόλλης, μίσυος ὀπτοῦ, λεπίδος χαλκοῦ, διφρυγοῦς, ἁλὸς ἀμμωνιακοῦ, γῆς Ἐρετριάδος, ἑκάστου ἀνὰ ‹ δ′. θείου ἀπύρου ‹ ιβ′. χαλκάνθου, λίθου Ἀσίου τὸ ἄνθος, χαλκοῦ κεκαυμένου ἀνὰ ‹ στ′. σώρεος ‹ ε′. στυπτηρίας ὑγρᾶς ‹ δ′. ἅπαντα ταῦτα λεάνας, εἶτα ἐπιβάλλων κοτύλας ιβ′. ὄξους, τρῖβε ἐπιμελῶς ἐν ἡλίῳ, ἐν ταῖς ὑπὸ κύνα ἡμέραις ε′. ἕως ἂν ξηρανθῇ τὸ φάρμακον. σκευαζέσθω δὲ ἐν ἄλλῃ θυείᾳ λιβανωτοῦ
12.839 γο α′. σμύρνης γο β′. ἀλόης γο α′. λαδάνου γο γ′. ὀποπάνακος γο γ′. ὄξει διαλυθέντα, ὡς γλοιοῦ ἔχειν πάχος, καὶ ὅταν εὖ ἔχῃ, ἐπίβαλε τοῖς ἐν ἡλίῳ λεανθεῖσι καὶ πάλιν τρῖβε, καὶ τούτοις ἐπίβαλε κεκομμένης καὶ σεσησμένης λεπτοτάτῳ κοσκίνῳ ἀριστολοχίας στρογγύλης καὶ μακρᾶς

ἀνὰ ‹ α′. ὅταν δὲ ἤδη ἐμπλαστρώδη τὰ τριβόμενα γένηται, ἐπίβαλε τὰ τηκτὰ, τήξας πρότερον καὶ ψύξας. ἔστι δὲ ταῦτα. ℈ κηροῦ ‹ ρι′. τερμινθίνης ‹ κ′. χαλβάνης ‹ θ′. ἐλαίου κοτύλην α′. καὶ μαλάξας ἐπιμελῶς ἀνελόμενος χρῶ. κείμενον δὲ τὸ φάρμακον διπρόσωπον γίνεται. τῆς δὲ διαθέσεως ἐμμόνου γενομένης καὶ πρὸς τὴν τῶν φαρμάκων ἐπίθεσιν ἀντιβαινούσης χρηστέον τοῖς λεγομένοις ἐκδορίοις, καὶ γὰρ ἀφιστᾶσι τὴν ἐπιφάνειαν ἐκ προχείρου.

Περὶ ἐκδορίων. Ἐκδόριον λειχήνων. ταύτῃ Πάμφιλος χρησάμενος ἐπὶ Ῥώμης πλεῖστον ἐπορίσατο ἐπικρατούσης ἐν τῇ πόλει τῆς μεντάγρας λεγομένης. ℈ λεπίδος χαλκῆς ‹ στ′. ἀρσενικοῦ ‹ δ′. σανδαράχης ‹ δ′. χαλκοῦ κεκαυμένου ‹ α′ ′′. ἐλλεβόρου λευκοῦ ‹ α′ ′′. κανθαρίδων
12.840 κοιλιδίων ‹ α′ ′′. ἕκαστον τρῖβε κατ᾽ ἰδίαν, εἶθ᾽ ὁμοῦ μίξας ἀναλάμβανε κεδρίᾳ, καὶ γλοιοῦ ποιήσας τὸ πάχος κατάθου εἰς πυξίδα Κυπρίου χαλκοῦ. ἐπὶ δὲ τῆς χρήσεως νίτρῳ καὶ ὄξει βραχεῖ ἀποσμήχων τὰς λειχῆνας ἐπίχριε, σπαθομήλῃ χρώμενος καὶ παρατρίβων, ἔπειτα ἀποσμήξας ἀπόξυε καὶ πάλιν ἐπιτίθει τὸ φάρμακον. ἔπειτα δὶς καὶ τρὶς τοῦτο ποιήσας. ὥστε κούφως ἀποξύειν, πάλιν ἐπιτιθέναι πειρῶ σκεπάζων τοὺς ἐπιχρισθέντας τόπους ὑμένι κύστεως βοείας ἢ ἑτέρου τινὸς ζώου, καὶ γὰρ τὸ φάρμακον ἀδιάρρευστον φυλάττει καὶ κοῦφόν ἐστι. μετὰ δὲ τὴν τοῦ ὑμένος ἀφαίρεσιν ἐπιθέσει ταινιδίου κούφως ἐπιδήσας ἕα. καλὸν μὲν διανυκτερεύειν· εἰ δὲ μή γε, μέχρις ὡρῶν τινων, ἕως φλυκταίνας γενέσθαι ἰχῶρας περιεχούσας παχεῖς καὶ κολλώδεις, εἶτα λούεσθαι παραινοῦμεν καὶ παρατείνειν ἐν τῷ βαλανείῳ. καὶ γὰρ τοῦτο συνεργεῖ τῇ τοιαύτῃ θεραπείᾳ, ἔστω δὲ θερμὸν τὸ βαλανεῖον. εἰ δέ τι κωλύει βαλανείῳ χρῆσθαι, ἀποπυριατέον θερμῷ ὕδατι πολλῷ, εἶτα περιμάττειν χρὴ καὶ καταπλάττειν ἄρτῳ φυραθέντι ὑδρομέλιτι. ῥυπαρῶν δὲ γενομένων τῆς χλωρᾶς ἐπιτίθει σπλήνιον, προσλαβὼν ὀλίγον τοῦ
12.841 ἐκδορίου. ἰχώρων δὲ ἐκκρινομένων καὶ μηδεμιᾶς ἐπικειμένης ἐφελκίδος, ἐπιτίθει λευκὸν σπλήνιον, καὶ ταύτῃ χρῶ τῇ θεραπείᾳ μέχρι παντελοῦς ἀπουλώσεως, ἀποπυριῶν τε καθ᾽ ἑκάστην ἡμέραν καὶ νεαρῷ χρώμενος σπληνίῳ. μετὰ δὲ τὴν παντελῆ ἀπούλωσιν ὑπολειπομένης τινὸς ὑποψίας, χρηστέον ταῖς αὐταῖς ἀγωγαῖς. πρὸ δὲ τῆς τῶν ἐκδορίων ἐπιθέσεως περιλαμβάνειν δεῖ τὰ ἔξωθεν τοῦ λειχῆνος φαρμάκου ἀφλεγμάντου

σπληνίῳ, προσχαριζόμενον τῇ ἐξωτάτῳ γραμμῇ τοῦ λειχῆνος μικρόν τι τῶν ἀπαθῶν σωμάτων. αὕτη κοινὴ ἐπιμέλεια τῆς μεντάγρας.

Ἀξιορίου. ⁊ Λεπίδος χαλκοῦ ʃ στ′. χαλκάνθου ʃ δ′. κανθαρίδων ʃ α′ ′′. ἐλλεβόρου λευκοῦ ʃ α′ ′′. σανδαράχης ʃ α′. κεδρίᾳ ἀναλάμβανε.

Ἄλλο Ἀπίου Φάσκου πρὸς τὰς μεντάγρας, ὥστε χωρὶς οὐλῆς ἀποθεραπεύειν. ποιεῖ δὲ καὶ πρὸς ἀλωπεκίας χρονίας. Ἐπίχριε δὲ τὰς μὲν ἀλωπεκίας ἐν ἡλίῳ ἢ παρὰ πυρί. φλυκταίνης δὲ γενομένης βελόνῃ χρὴ
12.842 διακεντεῖν, ὑγροῦ δὲ ἐκκριθέντος κηρωταῖς ἀποθεραπεύειν. μετὰ δὲ τὴν ἀπούλωσιν ἐκφύουσιν αἱ τρίχες. καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀλωπεκίων. ἐπὶ δὲ τῶν λειχήνων χρηστέον καθὰ προείρηται, τὸ δὲ φάρμακον ἔχει οὕτως. ⁊ σανδαράχης ʃ β′. ἀρσενικοῦ ʃ β′. λεπίδος χαλκοῦ ʃ β′. ἐλλεβόρου μέλανος ʃ α′. ἐλατηρίου ʃ α′. κανθαρίδος τῆς κοιλίας ʃ α′. ἀναλάμβανε κεδρίᾳ. ἄλλο. ⁊ κανθαρίδων ʃ α′ ′′. ἐλλεβόρου λευκοῦ ʃ α′ ′′. ἀρσενικοῦ ʃ β′. λεπίδος χαλκοῦ τὸ ἴσον, χαλκάνθου ʃ α′. σκαμμωνίας ʃ β′. ἀναλάμβανε κεδρίᾳ. ἄλλο. ⁊ ἀρσενικοῦ κεκαυμένου ʃ β′. λεπίδος Κυπρίας ʃ στ′. χρυσοκόλλης ʃ α′. χαλκάνθου ʃ α′. ἐλλεβόρου μέλανος ʃ α′. σχιστῆς ʃ α′. θαψίας χυλοῦ ʃ α′. σκαμμωνίας ʃ α′. κανθαρίδων ʃ α′. κεδρίας τὸ αὔταρκες.

Ἔμπλαστρα χλωρὰ λειχηνικά. Μετὰ δὲ τὴν ἐκδορίων χρῆσιν ἔμπλαστρα χλωρὰ καὶ λευκὰ ἐπιτιθέναι δεῖ. εὔλογον δ’ ἂν εἴη καὶ τὰς τούτων σκευασίας ἀναγράφειν.

Χλωρὸν ᾧ ἐχρήσατο Πάμφιλος ἐπὶ τῆς μεντάγρας λεγομένης μετὰ τὴν
12.843 ῥῆξιν τῆς φλυκταίνης. ⁊ Κηροῦ λίτραν α′. ἰοῦ ξυστοῦ γο στ′. φρυκτοῦ λίτρας β′. ἐλαίου κυάθους δ′. ὄξους δριμυτάτου ὅσον ἐξαρκεῖ, τὸν ἰὸν χρὴ μετ’ ὄξους τρίβειν ἐν ἡλίῳ. τὰ δὲ τηκτὰ τήκεται καὶ ψύχεται, ἔπειτα ἀναξύεται καὶ τοῖς ὑγροῖς ἐπιβάλλεται.

Δημοσθένους χλωρόν. ⁊ Κηροῦ λίτρας β′. φρυκτοῦ λίτραν α′. ἰοῦ ξυστοῦ γο δ′. ἐλαίου, θέρους κυάθους δ′. χειμῶνος κυάθους στ′. ὄξους ὅσον ἐξαρκεῖ.

Ἡροφίλου χλωρόν. ℈ Ἰοῦ ‹ β′. μάννης ‹ δ′. στέατος μοσχείου ‹ ιβ′. χαλβάνης ‹ γ′. κηροῦ ‹ π′. ῥητίνης ‹ κ′. ὄξους τὸ ἀρκοῦν.

Τρύφωνος ἀρχαίου ἡ εὔχρους λεγομένη. ℈ Χαλκοῦ κεκαυμένου γο δ′. στυπτηρίας στρογγύλης γο β′. ἰοῦ ξυστοῦ γο β′. ἁλὸς ἀμμωνιακοῦ γο β′. μάννης γο β′. κηροῦ λίτρας β′. φρυκτῆς λίτρας β′. ἐλαίου γο ι′. ὄξους τὸ ἀρκοῦν.

Ἀντωνίνου, ταύτην Τιμοκράτης μετὰ τὴν ἐκδορὰν τῶν λειχήνων ἐπιτίθησιν. ℈ Κηροῦ ‹ ρ′. κολοφωνίας ‹ ς′. λεπίδος Κυπρίας ‹ ιβ′.
12.844 στυπτηρίας στρογγύλης ‹ ιβ′. ἰοῦ ‹ ιβ′. μάννης ‹ ιβ′. χαλβάνης ‹ ιβ′. ἐλαίου κοτύλην μίαν, ὄξους τὸ ἀρκοῦν. συναπτέον δὲ τούτοις καὶ τὰς τῶν λευκῶν σκευασίας, καὶ γὰρ ταύταις χρηστέον ἐστὶ μετὰ τὰς χλωράς, καθαρῶν γενομένων τῶν περὶ τὴν ἐκδοράν. καὶ γὰρ φροντιστέον, ὥστε χωρὶς τύλου ἀπουλοῦσθαι, καὶ διὰ τοῦτο χρηστέον τοῖς τοιούτοις φαρμάκοις, ἅτινα πολλὴν εὐάφειαν ἐπιφέρει.

Λευκὴ ὑδατίνη λεγομένη. ταύτῃ Μάγνος ὁ περιοδευτὴς ἐχρήσατο μετὰ τὴν τῶν λειχήνων ἐκδοράν. ℈ Λιθαργύρου λίτραν α′. κηροῦ Τυρρηνικοῦ λίτραν α′. ἐλαίου α′. ψιμυθίου λίτραν μίαν, ὕδατος α′. τρῖβε λιθάργυρον, ψιμύθιον καὶ τὸ ὕδωρ, καὶ ὅταν λειότερα γένηται, ἐπίβαλλε κατὰ μικρὸν τὸ ἔλαιον καὶ τρῖβε συνεχῶς, καὶ ὅταν ἑνωθῇ, μετέρα εἰς ἀγγεῖον κεραμοῦν καὶ ἐπιτίθει ἐπὶ τὸ πῦρ συνεχῶς κινῶν. ὅταν δὲ τὸ ὕδωρ ἀναποθῇ, ἐπίβαλλε τὸν κηρὸν καταπλάσας, καὶ ὅταν διαλυθῇ, εἰς θυείαν μετεράσας καὶ μαλάξας ἀνελόμενος χρῶ.

12.845 Ἡ τῶν παγκρατιαστῶν λεγομένη τρυφερὰ, ποιεῖ καὶ πρὸς πυρίκαυστα, ὥστε χωρὶς οὐλῆς ἀπαλλάττειν. ℈ Λιθαργύρου ‹ κε′. ψιμυθίου ‹ κε′. μολυβδαίνης ‹ κε′. κηροῦ ‹ ιστ′. τερμινθίνης ‹ ιστ′. ἐλαίου κο α′. ὕδατος τὸ ἴσον, συντίθει καθὰ προείρηται.

Μέγητος χειρουργοῦ. ℈ Ψιμυθίου λίτρας β′. κηροῦ λίτραν α′. τερμινθίνης γο α′. λιθαργύρου λίτραν α′. ἐλαίου λίτρας γ′. ὕδατος β′. συντίθει.

Διοφάντου πρὸς πυρίκαυστα καὶ παρατρίμματα. ἔστι δὲ καὶ τοῦ προσώπου φυλακτικὴ ἀνιεμένη ῥοδίνῳ. ♃ Λιθαργύρου πεφωγμένου ʃ β′. μυελοῦ ἐλαφείου ʃ ιστ′. ψιμυθίου πεφωγμένου ʃ ιβ′. κηροῦ ʃ η′. τερμινθίνης ʃ η′. λιβανωτοῦ ʃ η′. ἐλαίου ϰο δ′. συντίθει κατὰ τρόπον.

Μάννη, φάρμακον ἐπιτετευγμένον. ♃ Λιθαργύρου ʃ ρ′. ψιμυθίου ʃ ρ′. κηροῦ ʃ ν′. τερμινθίνης ʃ κε′. μάννης ʃ ιστ′. σχιστῆς ʃ μ′. ἐλαίου ϰο β′. ′′. συντίθει καὶ ἀνελόμενος χρῶ. ἐπιτριβομένων δὲ τῶν λειχήνων ὑφ᾽ ἧς δηποτοῦν φαρμακείας, μάλιστα δὲ ἐπὶ τῶν ἐκδορῶν χρηστέον τοῖς ὑπογεγραμμένοις.

12.846 Σκευασία Μενεκράτους ἡ διὰ τῆς ἐκδορίου λεγομένη. ♃ Πίσσης βρυτίας διαυγοῦς ξηρᾶς, ἐξαιρέτου ʃ β′ ′. πιτυΐνης διαυγοῦς λίτραν α′ καὶ γο γ′. κηροῦ Ποντικοῦ τὸ ἴσον, χαλβάνης γο γ′. ὄξους ϰο α′. τὰ τηκτὰ ἕψε λαμπροτέρῳ πυρὶ, μέχρις ἀμολύντου, εἶτα ἐπίβαλλε τὴν χαλβάνην, καὶ ὅταν διαλυθῇ, ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίρριπτε κατὰ μικρὸν τὸ ὄξος καὶ κίνει συνεχῶς προσέχων μὴ ἀναζέσῃ, καὶ ὅταν δαπανήσῃς τὸ ὄξος, μετέρα τὸ φάρμακον εἰς θύειαν μεγάλην καὶ τρῖβε φιλοπόνως, ὥστε ἔχειν μήλινον τὸ χρῶμα, εἶτα ἀποθέμενος εἰς δέρμα λευκὸν ἐστυμμένον φύλαττε. ἐπὶ δὲ τῆς χρήσεως, ἐμπλάσας εἰς δέρματα ὅσον ἐξαρκεῖ σκεπάσαι τοὺς πεπονθότας τόπους, ἐπιτίθει καὶ λύων διὰ τρίτης νεαρὸν ἐπιτίθει μέχρις ἡμερῶν ιβ′. ὡς τέσσαρας εἶναι τὰς ἐπιλύσεις. ἀφίστησι λεπίδας τὸ φάρμακον καὶ λεπτύνει τὰ σώματα καὶ στερεὰ ποιεῖ πρὸς τὰς ἐπιτηδείας ἐκδοράς.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα ἐν τῷ δευτέρῳ τῶν κατὰ γένος
12.847 φαρμάκων, πρὸς τὰ ἐν τοῖς γενείοις ἐξανθήματα καὶ τἆλλα καὶ τὰ συκώδη. Τὰ δὲ ἐπὶ τοῦ γενείου ἐξανθήματα, μύρτα, σίδια, λιθάργυρον, χαλκοῦ ἄνθος, ἴσα σὺν οἴνῳ περίχριε. ἐπὶ δὲ τῶν συκωδῶν τῶν ἐπὶ τοῦ γενείου, λεγομένων δὲ μανταγρῶν, ὑπό δέ τινων λειχήνων ἀγρίων, ποιεῖ μὲν καὶ τὰ εὐτονώτερα τῶν πρὸς λειχῆνας, ἔτι δὲ καὶ ψώρας καὶ λέπρας ἀναγραφησομένων, θαυμαστῶς δὲ συμπεφώνηκεν αὕτη. ♃ χαλκάνθου ʃ α′. ἐλλεβόρου μέλανος ʃ α′. ἀρσενικοῦ ʃ α′. κανθαρίδων κοιλίας ʃ β′. ἔνιοι δὲ καὶ τριώβολον, λείοις χρῶ μετ᾽ ἐλαίου ἢ κεδρίας. ἢ ῥοδίνου προσμήχων τὸν τόπον. γίνονται φλύκταιναι, ταύτας ῥήσσων πυρῆνι

μήλης ἐπιλέαινε, ὥστε παρεισέρχεσθαι τοῦ φαρμάκου καὶ δάκνειν, εἶτα μετὰ ὥραν πυριάσας κηρωτὴν ῥοδίνην ἐπίρριπτε. τοῦτο μέχρι κατουλώσεως ποιεῖ. ἐὰν δὲ τὸ πρῶτον μὴ κρατῇ, καὶ δὶς καὶ τρὶς κατάχριε. ποιεῖ καὶ λέπραις καὶ λεύκαις καὶ ἀλωπεκίαις καὶ ψώραις ἄκρως.

Ἡρακλείδου Ταραντίνου ἐκ τῶν πρὸς Ἀντιοχίδα, πρὸς τὰ ἐπὶ τῆς
12.848 κεφαλῆς καὶ τοῦ γενείου συκώδη οἰδήματα, κἄν που ἀλλαχῇ ἐξέχοντα ἕλκη. Ἐλατηρίου καὶ ἁλῶν ἴσον μίξας χρῶ, ἄνωθεν δὲ ἐπιτίθει λείου σπέρμα ὠμὸν μεθ' ὕδατος ἢ σῦκα λεπτὰ λεῖα. τῷ δὲ αὐτῷ καὶ πρὸς τὰ φύματα χρηστέον.

Περὶ τῶν ἐν τοῖς ὀδοῦσι παθῶν. Τῶν ἐν τοῖς ὀδοῦσι παθῶν ἔνια μὲν ἅπασιν ἐναργῶς φαίνεται, καθάπερ ὅταν οὕτω τρηθῶσιν ἢ μελανθῶσιν ἢ ἐκτριβῶσιν, ἢ μήτε τῶν ψυχρῶν ἀνέχωνται μήτε τῶν θερμῶν, ἀλλ' ἐπ' ἀμφοτέροις ἢ θατέρῳ μόνῳ συμβαίνῃ τις ὀδύνη. τινὰ δ' οὐ φαίνεται σαφῶς ἐν αὐτοῖς παθῶν, ὥσπερ ὅταν ὁ πάσχων αὐτὸς αἰσθάνεσθαι φῇ τῆς κατὰ τὸ σῶμα τοῦ ὀδόντος ὀδύνης, ἐν τῷ βάθει γινομένης. ἀντιλέγουσι γὰρ ἔνιοι φάσκοντες ὀστοῦν ὄντα τὸν ὀδόντα, χωρὶς ὀδύνης πάσχειν, ὥσπερ ὅταν τῇ καλουμένῃ ῥίνῃ τὰς ὑπεροχὰς αὐτῶν ἀναγκασθῶμεν πρίζειν ἢ καὶ δι' ἄλλην τινὰ πρόφασιν, ἣν ὀλίγον ὕστερον ἐρῶ. νυνὶ γὰρ βούλομαι χωρὶς λογικῆς τε καὶ φυσικῆς ἀποδείξεως μαρτυρῆσαι τοῖς φάσκουσιν αὐτὸν ἀλγεῖν τὸν ὀδόντα. καὶ γὰρ κἀγὼ
12.849 ἀλγήσας ἀκριβῶς ἑαυτῷ προσεῖχον, ὡς ἂν ἤδη προακηκοὼς τῆς ἀμφισβητήσεως, ᾐσθανόμην τε σαφῶς, οὐ μόνον ἀλγοῦντος, ἀλλὰ καὶ σφύζοντος τοῦ ὀδόντος, ὁμοίως ταῖς φλεγμονούσαις σαρξὶν, ὥστε με θαυμάζειν εἰ καὶ τοῦτο τὸ πάθος, ὃ καλοῦμεν φλεγμονὴν, ἐν ὀδόντι γενέσθαι δύναται, λιθώδη καὶ σκληρὰν οὐσίαν ἔχοντι. καὶ μέντοι καὶ καθ' ἕτερον καιρὸν ἀλγήσας ὀδόντα, σαφῶς ᾐσθανόμην οὐκ αὐτοῦ τοῦ ὀδόντος, ἀλλὰ τῶν οὔλων εἶναι τὸ ἄλγημα, φλεγμαινόντων δὲ αὐτῶν, ὡς καὶ χωρὶς τῆς θλίψεως ἀλγεῖν. ἀλλὰ καὶ γειτνιάσει τῶν ὀδόντων σκληρῶν ὄντων, αὐξανομένης τῆς ὀδύνης διὰ τὴν θλίψιν, ὡς ἑκατέρας τῆς αἰσθήσεως πεπειραμένος, ἄλλης μὲν ἐπὶ τοῖς οὔλοις, ἄλλης δὲ ἐπ' αὐτῆς τῆς τοῦ ὀδόντος οὐσίας, σαφῶς οἶδα καὶ μαρτυρῶ τοῖς λέγουσιν

ἀλγεῖν αὐτοὺς τοὺς ὀδόντας ποτὲ καὶ μέντοι καὶ τοῦ καταφυομένου νεύρου τῇ ῥίζῃ τοῦ ὀδόντος ὀδύνην γενέσθαι ποτὲ τοῦ νεύρου, φαντασίαν συγκεχυμένην καὶ ἀδιάρθρωτον τοῖς πολλοῖς φέροντος, ὡς αὐτοῦ ὀδόντος ἀλγοῦντος, εὔλογόν ἐστι. καὶ γὰρ καὶ τούτου σαφῶς
12.850 ᾐσθόμην συμβάντος μοι. καὶ τό γε διαμένειν ἔτι μέρος μικρὸν τῆς ὀδύνης ἐξαιρεθέντος τοῦ ὀδόντος ἐπὶ τῇ τοῦ νεύρου ἐγγίνεται φλεγμονῇ, κουφιζομένου μόνον ἐκ τοῦ μηκέτι μήτε τείνεσθαι τῆς πρὸς τὸ τεῖνον ὀστοῦν συμφύσεως ἐλευθερωθὲν ἀναπνοήν τέ τινα σχεῖν καὶ τῶν προσφερομένων ἰαμάτων ψαύειν. οὔτε γὰρ κατὰ ψαῦσιν οὔτε κατὰ διάδοσιν οἷόν τε τὸ φλεγμαῖνον ἰᾶσθαι νεῦρον ἑκατέρωθεν ὑπὸ τῶν φατνίων στεγόμενον, ἔμπροσθέν τε ὑπ᾽ αὐτοῦ τοῦ ὀδόντος. εἰ δὲ πελιδνοὶ δι᾽ ὅλης ἑαυτῶν τῆς οὐσίας οἱ ὀδόντες φαίνονταί ποτε γινόμενοι, θαυμαστὸν οὐδέν ἐστι πάσχειν αὐτούς τι καὶ τῇ φλεγμονῇ παραπλήσιον. ἔτι δὲ καὶ μᾶλλον ἄν τις τούτῳ πιστεύσειεν ἐν τῷ τρέφεσθαί τε καὶ σχεδὸν ἐν ἅπαντι τῷ τῆς ζωῆς χρόνῳ τὴν αὔξησιν ἔχειν. ἐναργῶς γὰρ τοῦτο φαίνεται πολλάκις ἐπὶ τῶν ἀντικειμένων ἐξαιρεθεῖσιν ὀδοῦσιν, ὥστε αὐξανομένων μὲν αὐτῶν διὰ παντὸς, ὅσον δ᾽ αὔξονται τοσοῦτον ἐν τῇ τῶν σιτίων λειώσει τριβομένων. εἰ δὲ ἀδύνατόν
12.851 ἐστιν αὐξάνεσθαι χωρὶς τοῦ τρέφεσθαι πάντως που καὶ δυσὶν ὑποκείσονται παθήμασιν ἐναντίοις, ἐνδείᾳ τε καὶ πλεονεξίᾳ τῆς χορηγουμένης αὐτοῖς τροφῆς. ἡ μὲν οὖν ἔνδεια ξηροτέρους τε καὶ ἀτροφωτέρους καὶ διὰ τοῦτο λεπτοτέρους ἐργάζεται. ἡ πλεονεξία δὲ ποιήσειέ ποτε διάθεσιν αὐτοῖς ἀνάλογον τῇ κατὰ σαρκώδη μόρια φλεγμονῇ. ταύτης μὲν οὖν ἰάματα γενήσεται τὸν αὐτὸν ἔχοντα σκοπὸν τοῖς τὰς φλεγμονὰς ἰωμένοις, ὅπερ ἐστὶ κενῶσαι τὴν πλεονεξίαν, τὸ μέν τι διαφοροῦντα, τὸ δὲ ἀποκρουόμενον αὐτῆς. τῆς δὲ δι᾽ ἔνδειαν τροφῆς λεπτότητος τῶν ὀδόντων ἴαμα μὲν οὐδέν ἐστι, τὸ χαλάσαι δὲ ἀναγκαῖον τηνικαῦτα καὶ σείεσθαι χαλαρωτέρας τῆς ἐγγομφώσεως γενομένης, οὐ μόνον αὐτῶν τῶν ὀδόντων λεπτυνθέντων, ἀλλὰ καὶ τῶν περιεχόντων αὐτοὺς φατνίων. αὕτη μὲν οὖν ἡ διάθεσις ἐπιγίνεται τοῖς γηρῶσιν ἢ πρωιαίτερον ἢ ὀψιαίτερον ὥσπερ γε καὶ μᾶλλον καὶ ἧττον· ἢ δ᾽ ἀνάλογον τῇ φλεγμονῇ ἔχει, μᾶλλον τοῖς νέοις. βοηθητέον οὖν ἐστι καὶ τοῖς γέρουσιν τῇ διὰ τῶν οὔλων βοηθείᾳ. καλοῦνται δ᾽ οὕτως αἱ

12.852 ἀντιπεριλαμβάνουσαι τοὺς ὀδόντας σάρκες, ἔνθα πρῶτον ἀνίσχουσι τῶν φατνίων. αὐτὰς οὖν χρὴ στύφουσι φαρμάκοις εὐτονωτέρας τε καὶ μᾶλλον ἐσφιγμένας περὶ τὸν ὀδόντα ποιεῖν, ὥσπερ καὶ αὐτὰς ὠφελούσας τι τῷ μονίμῳ τε καὶ δυσκινήτῳ διὰ τὴν τῆς ἐγγομφώσεως ἀκρίβειαν γεγονότι. καὶ μὴν καὶ τὰ τρήματα τῶν ὀδόντων ἐξ ἐπιρροῆς ὑγρῶν δριμέων τε καὶ διαβρωτικῶν ἀποτελεῖται, καθάπερ τὰ ἐπὶ τοῦ δέρματος ἕλκη χωρὶς τῆς ἔξωθεν αἰτίας. ἀλλ᾽ ἐπ᾽ ἐκείνου μὲν συνεχῶς καὶ πολλοῖς, ἐπὶ δὲ τῶν ὀστῶν σπανιάκις ὅσῳ δυσπαθέστερα δέρματός ἐστι διὰ τὴν σκληρότητα. δῆλον οὖν ὅτι καὶ ἴασις ἔσται τῶν ἀναβιβρωσκομένων σωμάτων, ἀναξηραινομένης τῆς ἐπιρρεούσης κακοχυμίας. εἰ μὲν ὀλίγη τις εἴη, τοῖς τοπικοῖς βοηθήμασι διὰ τῶν ξηραινόντων φαρμάκων, ὧν τὴν ὕλην ὀλίγον ὕστερον ἐροῦμεν· εἰ δὲ πλείων, ὅλης τῆς κεφαλῆς τῇ προνοίᾳ, κἂν αὕτη ποτὲ πάσχῃ, διὰ τὸ σύμπαν σῶμα καὶ τῇ κατ᾽ ἐκεῖνο θεραπείᾳ. τοὺς δὲ βεβρωμένους ὀδόντας, ὡς ἂν ὑπὸ μαλακότητος τοῦτο πάσχοντας, ἐργάζεσθαι χρὴ
12.853 σκληροτέρους καὶ δυσπαθεστέρους διὰ τῶν αὐστηρῶν τε καὶ στρυφνῶν φαρμάκων. καὶ τοὺς πελιδνουμένους δὲ διὰ τῶν ξηραινόντων, ὡς ἂν ἐξ ἐπιρροῆς ὑγρῶν μοχθηρῶν τοῦτο πάσχοντας. ὁμοίως οὖν δέονται θεραπείας τοῖς τετρημένοις.

Περὶ οὔλων θεραπείας. Οὔλων διὰ φλεγμονὴν ὀδυνωμένων ἄριστόν ἐστι φάρμακον ἔλαιον σχίνινον, εὔκρατον κατὰ θερμότητα διακρατούμενον. ἔστω δὲ νέον, ὡς τό γε παλαιότερον εἰς τοσοῦτον τοῦ νέου φαυλότερον, εἰς ὅσον παλαιότερον. ἐνιστάσθω δὲ τὸ ἀγγεῖον, ἐν ᾧ θερμαίνεται τὸ σχίνινον, ἑτέρῳ μείζονι θερμὸν ἱκανῶς ὕδωρ ἔχοντι. μάλιστα μὲν οὖν ἁρμόττει τοῦτο τῇ φλεγμονῇ τῶν οὔλων, οὐ μὴν κἂν κατὰ ἄλλο τι μέρος τοῦ τε τὴν γλῶτταν ἀμφιεννύντος ὑμένος ὑπεζωκότος τε σύμπαν τὸ στόμα γένηταί τις ὀδύνη διὰ φλεγμονὴν, ἀνωδυνίας ἐστὶ ποιητικὸν τὸ σχίνινον. ἀποκρούεται γὰρ ἀλύπως ἄνευ τραχύτητος, ἣν ἔχει τὰ πλεῖστα τῶν αὐστηρῶν, διαφορεῖ τε ἀδήκτως, οὗ χρεία μᾶλλον τοῖς φλεγμαίνουσιν. ἔνιοι δὲ τῶν ἰατρῶν κοινῷ τινι χρώμενοι παραλογισμῷ
12.854 βλάπτουσι τὰ φλεγμαίνοντα. καὶ χρὴ διασκεψαμένους ἅπαξ ὑπὲρ αὐτοῦ φυλάττεσθαι τοῦ λοιποῦ. νομίζουσι γὰρ εἰ τὰ στύφοντα μόνον ὀνίνησι τὰς φλεγμονὰς ἀποκρούοντα τὸ ἐπιρρέον, ἔστι δ᾽ ὅτε καὶ τοῦ

περιεχομένου τι κατὰ τὸ φλεγμαῖνον ἐκθλίβοντα πρὸς τὰς τρεφούσας φλέβας τὸ μόριον, εἰκὸς εἶναι τὸ μᾶλλον στῦφον ὀνήσειν μᾶλλον. οὕτω δὲ καὶ τὸ διαφοροῦν μᾶλλον ὀνήσειν μᾶλλον οἴονται τοῦ μετρίως τοῦτο δρῶντος, οὐκ ἐννοοῦντες ὡς τὸ ἑκάτερον αὐτῶν ἐπιτεταμένον ὀδυνηρὸν γίνεται τοῖς φλεγμαίνουσιν. ὑπὸ μὲν γὰρ τῶν σφοδρῶς στυφόντων ὅμοιόν τι θλάσει πάσχει τὰ μόρια συναγομένης αὐτῶν τῆς οὐσίας βιαίως. ὑπὸ δὲ τῶν δριμέων διαβρώσει τι παραπλήσιον. εἰκότως οὖν τὸ σύμμετρον ἐν ἑκατέρᾳ βέλτιόν ἐστι τῶν ἀμέτρων. ταῦτα μὲν οὖν αὐτάρκως μοι προείρηται. περὶ δὲ τῶν κατὰ τὰς ὀδύνας διαθέσεων ἐφεξῆς ἐρῶ.

Περὶ τῆς τῶν ὀδόντων ὀδύνης. Τῶν ὀδυνωμένων ὀδόντων ἄνευ τῆς τῶν
12.855 οὔλων φλεγμονῆς ἔσθ’ ὅτε μὲν, ὡς ἔφην, ἐν αὐτῷ τῷ οἰκείῳ σώματι τὴν ὀδύνην, ἔσθ’ ὅτε δὲ ἐν τῷ νεύρῳ συμβαίνει γίνεσθαι. σφοδροτάτων οὖν ἐστι χρεία φαρμάκων, εἴτε ἀποκρούεσθαί τις εἴτε διαφορεῖν ἐθέλοι τὸ τῆς ὀδύνης αἴτιον, ἐάν τε χυμὸς ἐάν τε φυσῶδες ᾖ πνεῦμα. καὶ διὰ τοῦτο τὰ πλεῖστα αὐτῶν δι’ ὄξους σκευάζεται δριμυτάτου. παραγράψω δὲ ἐφεξῆς καὶ τὰ διὰ τῆς ἱστορίας ἡμῖν παραδεδομένα, τὴν ἀρχὴν ἀπὸ τῶν ὑπ’ Ἀρχιγένους γεγραμμένων ποιησάμενος.

Τὰ ὑπ’ Ἀρχιγένους γεγραμμένα πρὸς ἀλγοῦντας ὀδόντας. Ἀλγοῦντας δὲ ὀδόντας διακλυζέσθωσαν ὄξει θερμῷ δριμεῖ μετὰ κηκίδος, ἢ ἁλικακάβου ῥίζῃ μετ’ ὄξους καὶ κηκίδος. ἢ δᾳδίοις λιπαροῖς ἀνεζεσμένοις ἐν ὄξει ἢ μυρσίνης κλωνίοις καὶ μετὰ πίσσης ἐν ὄξει χλιαινομένοις, ἢ ὑοσκυάμου τῷ σπέρματι καὶ τοῖς φύλλοις σὺν ὄξει, ἢ κεδρίᾳ ἢ προπόλει ἢ νάρδῳ ἢ στρύχνῳ ἢ τῷ χυλίσματι αὐτοῦ ἢ καππάρει ἢ σκορόδοις ἢ μυρσίνης κλωνίοις ἢ ἐν ὄξει ἀνεζεσμένοις ἢ οἴνου τρυγὶ θερμῇ ἢ πολίου φύλλοις ἢ καὶ αὐτῇ τῇ βοτάνῃ ἢ σικύου ἀγρίου ῥίζῃ ἢ πρασίου, ἕκαστον αὐτῶν σὺν
12.856 ὄξει μετὰ νίτρου καὶ πεπέρεως ἢ χαμαιλέοντος ῥίζης ὁμοίως ἢ ὑσσώπῳ ἢ σταφίδι ἀγρίᾳ ἢ πηγάνῳ μετ’ οἴνου, ἢ γλήχωνι μετ’ ὀξυμέλιτος ἢ πλατάνου σφαιρία ἢ ῥόδα ξηρὰ ἕψε ἐν οἴνῳ λευκῷ, μέχρι τὸ τρίτον τοῦ οἴνου λειφθῇ, εἶτα τοῦτο ἔχε ἐν ἀγγείῳ φυλάττων ἐπὶ τῆς χρείας συνεχῶς διακλύζου. ὡσαύτως δὲ καὶ ἡ τῆς πενταφύλλου ῥίζα, ὑπὸ δέ τινων εὐπατορίου λεγομένης καθεψηθεῖσα ἐν οἴνῳ ἢ γλήχωνος ἐπιπολὺ

ἐψηθείσης ἀφεψήματι, ἢ κέρας ἐλάφειον ἐν ὀξυκράτῳ ἐψηθὲν ἐπιπολὺ διακλύζου, ἢ κράμβης καυλοὺς τρεῖς καὶ σώρεος ‹ β′. ἐν ὄξει α′, μέχρι τὸ τρίτον λειφθῇ ἐψήσας διακλύζου. ἄκρως δὲ λέγεται ποιεῖν βατράχου ἐν ὄξει καὶ ὕδατι εὖ μάλα ἐψηθέντος τὸ ἀφέψημα ἐπιπολὺ διακρατούμενον ἐν τῷ στόματι. θαυμαστῶς ποιεῖ ἐὰν κυνόδοντα καύσῃς καὶ τρίψῃς, εἶτα σὺν ὄξει θερμῷ ἱκανῶς ἐψήσας διακρατήσῃς, ἢ σίδια καὶ κηκίδα ὄξει ἀναφεψήσας χρῶ, ἢ σκίλλης ὄξει θερμῷ, ἢ σκίλλης τὸ ἐντὸς εἰς λεπτὰ τέμνων λίτραν α′. καὶ εἰς τὸν ξέστην τοῦ ὄξους βαλὼν εἰς ἄγγος ταρίχευσον ὀνείᾳ κόπρῳ κατορύξας ἐφ᾽ ἡμέρας λ′. καὶ χρῶ, ἢ ὀνείῳ
12.857 γάλακτι διακλύζου, τοῦτο καὶ τοὺς κινουμένους στερεοῖ, ἢ ἁλικακάβου φλοιοῦ καὶ δᾳδίου ἐναπεσβεσμένου ὄξει διακλύζου, ἐπιπολὺ ἐψηθείσης ἀφεψήματι, ἢ κέρας ἐλάφειον ἐν ὀξυγάρῳ ἐναφεψήσας ἢ ἐν ὄξει διακλύζου, ἢ τιθυμάλλου ῥίζαν ἐν οἴνῳ, μέχρι τὸ ἥμισυ λειφθῇ, ἐψήσας διακλύζου, ἢ ὑοσκυάμου ῥίζαν ὀξυμέλιτι ἐψήσας διακλύζου, ἢ δᾳδίων ξύσματα. σίδια, στυπτηρίαν στρογγύλην ἢ σχιστὴν, ἐν ὄξει ἐψήσας, μέχρι τὸ τρίτον λειφθῇ, διακλύζου χλιαρῷ, ἢ ἑλξίνης ῥίζαν ἐν ὄξει ἐψήσας, μέχρι τὸ τρίτον λειφθῇ, διακράτει. ὅταν δὲ σιέλου τὸ στόμα πληρωθῇ, ἀνοίξας ἔα φέρεσθαι, ἢ σκόροδα καὶ Ἀλεξάνδρινον κάλαμον ὄξει δριμυτάτῳ ἀποζέσας διακλύζου, ἢ ὕσσωπον ἢ θύμον ἢ ὀρίγανον κατ᾽ ἰδίαν καὶ ὁμοῦ σὺν τῷ ὄξει ἕψων διακλύζου, ἢ πύρεθρον μετὰ ὑσσώπου καὶ κολοκυνθίδος τοῦ ἐντὸς, ὁμοίως ἐν ὄξει καθεψήσας διακράτει πλέονα χρόνον ἐν τῷ στόματι τὸ ὑγρὸν, ἢ οἴνῳ θερμῷ κολοκυνθίδος ἐναποβραχείσης διακράτει πλείονα χρόνον, πολὺ γὰρ φλέγμα ἄγει καὶ κουφίζει τὸν πόνον, ἢ σκορόδων καὶ εὐζώμου σπέρματι καὶ νίτρου ἀφεψήματι, ἢ βατράχιον ἐν οἴνῳ ἑψήσας περικαθάρας τὸν ὀδόντα
12.858 διακλύζου, ἢ συκαμίνου, τουτέστι μορέας γάλα εἰς οἶνον ἐκχέας, ὁμοῦ οἰσυπηρὰ ἔρια ἐναπόθλιβε χλιαίνων καὶ δι᾽ ἐρίων ῥυπαρῶν ἔγχει τῇ μύλῃ. ἀνασπᾷ γὰρ φλέγμα καὶ ἀπόνους ποιεῖ. ἐν τούτοις ἅπασιν ὁ Ἀρχιγένης κατάλογον ἐποιήσατο φαρμάκων τιμητικῶν τε καὶ διαφορητικῶν καὶ θερμαινόντων, σπανίως τῶν στρυφνῶν τι μίξας, ὁποῖόν ἐστι φάρμακον ἡ κηκίς. ἅπαξ δέ που κειμένου τοῦ στρύχνου τεθαύμακα περὶ τῆς μίξεως αὐτοῦ κατ᾽ οὐδένα λόγον ὠφελεῖν δυναμένου, πλὴν εἴπερ ἄρα καθ᾽ ὃν καὶ τὰ κωλικὰ φάρμακα, τῷ

ναρκωτικῷ τῆς ὀδύνης. τί ἂν οὖν ἔτι τῶν εὐπορίστων Ἀπολλωνίου μνημονεύοιμι, περιεχομένων ὀλίγου δεῖν ἁπάντων ἐν τοῖς ὑπ' Ἀρχιγένους γεγραμμένοις; ἐπεὶ δὲ αὐτὸς ὁ Ἀπολλώνιος ἐνίοις τῶν ὑπ' αὐτοῦ γεγραμμένων ἐμαρτύρησεν, ὡς παραχρῆμα παύουσι τοὺς πόνους τῶν ὀδόντων, ἄμεινον ἔδοξέ μοι κἀκεῖνα γράψαι, κατὰ τὴν αὐτοῦ τοῦ Ἀπολλωνίου λέξιν οὕτως ἔχουσαν.

Ἀπολλωνίου παραχρῆμα παῦον τοὺς πόνους τῶν ὀδόντων. Ϛ Σκορόδων
12.859 πυρῆνας ε′. λιβάνου ἄρρενος ὀβολοὺς γ′. μυρσίνης κλωνία διπάλαιστα δύο, τούτων ἀμέλξας τὰ φύλλα κατ' ἰδίαν λέανον ὁμοίως καὶ τὰ σκόροδα καὶ τὸν λιβανωτὸν, εἶθ' ὁμοῦ πάντα ἐμβαλὼν εἰς καινὴν χύτραν καὶ ἐπιχέας ὄξους κοτύλην α′. ἕψε κινῶν σπάθῃ δᾳδίνῃ, μέχρις οὗ λειφθῇ τὸ ἥμισυ, καὶ οὕτω χλιαρῷ χρῶ. δεῖ δὲ κρατεῖν τὸ ὑγρὸν ἐπὶ τῷ ἀλγοῦντι μέρει πρὸς πλείονα χρόνον, τοῦτο δὲ πρακτέον ἄχρις ἂν τὸ ὑγρὸν δαπανηθῇ. χρήσιμον δὲ καὶ πρὸ τοῦ διακλύσασθαι βαλσάμου ὀπὸν ἢ φλοιὸν ἐπιτιθέναι ἐπὶ τὸν ἀλγούμενον ὀδόντα· εἰ δὲ μὴ, πάνακος ὀπὸν θλάσαντα ἐλαφρῶς ἐᾶσαι τὸ ὑγρὸν ἀπορρεῖν.

Ἐφεξῆς τῶν γεγραμμένων ὁ Ἀρχιγένης ἔγραψε βοηθήματα τετρημένων ὀδόντων ὀδυνωμένων τε καὶ ἀνωδύνων κατὰ τήνδε τὴν λέξιν. Περιπλάσμασι δὲ καὶ ἐπιθέμασι τοιούτοις τισὶ χρῶ. σῶρυ Αἰγύπτιον ῥητίνῃ τερμινθίνῃ ἀναληφθὲν περίπλασσε καὶ τῷ βρώματι ἐντίθει αὐτὴν, ἢ τὴν διὰ δύο πεπέρεων ἐντίθει, ἀνιεὶς αὐτὴν νάρδῳ ἢ ῥοδίνῳ, μάλιστα δὲ ἀμυγδαλίνῳ, καὶ εἰς τὸ οὖς δὲ τὸ κατ' αὐτὸ ἔνσταζε, τὸ αὐτὸ ποιεῖ
12.860 ἄκρως. ἢ θεῖον ἄπυρον μετὰ λυκίου ἀναλαβὼν εἰς τὸ βρῶμα ἐντίθει, ἢ κηκίδα λείαν ἢ λυκίῳ ἢ ῥητίνῃ τερεβινθίνῃ ἀναλαβὼν περίπλασσε τὸν ἀλγοῦντα περικαθάρας πρότερον, ἢ κόμην γλήχωνος τρίψας ἐντίθει τῷ ὀδόντι. ἐπὶ δὲ τῶν μεγίστων ὀδονταλγιῶν ἄκρως ποιεῖ τοῦτο. ὄφεως γῆρας κατακαύσας καὶ μετ' ἐλαίου, μέλιτος ποιῶν πάχος στερεοῦ, περικαθάρας περίπλασσε καὶ τὰ κύκλῳ πάντα περίχριε καὶ τοῖς βρώμασιν ἐντίθει, ἢ προσπίεζε τῷ γήρᾳ μὴ κεκαυμένῳ τοὺς ὀδόντας, καὶ ἐκπίπτουσιν. ἢ γῆς ἔντερα φρύξας ἔμπασον εἰς τὸ βρῶμα περικαθάρας, ἢ ὠὰ ἀραχνίων ἀνιεὶς μύρῳ ναρδίνῳ ἐντίθει, ἢ μελάνθιον φρυγὲν μετ' ἐλαίου περίπλασσε καὶ μικρὸν μύσας ἀποφλεγματίζου, ἢ πεπέρεως ἢ

κάγχρυ ὀπίῳ ἀναλαβὼν ἐντίθει εἰς τὸ βρῶμα. ἐπὶ δὲ τῶν ὡσανεὶ ἐν φλεγμονῇ νίτρον ἐρυθρὸν καὶ Περσαίων ὀστέων τὸ ἐντὸς ἑνώσας ῥητίνῃ ἀναλάμβανε καὶ περίπλασσε τὸν ὀδόντα καὶ ἕα ἕως ἂν ἀποτακῇ. ἐπὶ δὲ τοῦ βρώματος πεπέρεως καὶ νίτρου ἀφρὸν καὶ χαλβάνην σὺν μέλιτι
12.861 ἐπιτίθει, ἢ γλοιῷ μετὰ πεπέρεως ὁμοίως, ἢ πύρεθρον μετὰ σμύρνης, ἢ ὀπὸν Κυρηναϊκὸν καὶ πέπερι ἴσα μετὰ χαλβάνης, ἢ μελάνθιον καὶ σκορόδου τὸ ἥμισυ καὶ ἁλὸς ὀλίγον συλλεάνας περίπλασσε, ἀπόνους ποιεῖ. ἢ σίλφης τῆς κεφαλῆς δεούσης τὸ στῆρ σὺν ῥοδίνῳ θερμάνας εἴς τε τὸ οὖς ἔνσταζε καὶ εἰς τὸ βρῶμα ἐντίθει, ἢ κηκίδα λείαν μετὰ κεδρίας χρῶ, ἢ εἰς τὸ κατὰ τὸν ἀλγοῦντα οὖς σησαμέλαιον ἐναφεψημένων αὐτῷ γῆς ἐντέρων ἔγχει. αὐτῷ δὲ τῷ ἀλγοῦντι ὑοσκύαμον δακνέτωσαν, ἢ κισσοῦ λευκοῦ κορύμβους ε′. μετὰ ῥοδίνου τρίψας καὶ ἐν σιδίῳ χλιάνας ἔνσταζε, δεύτερον καὶ τρίτον τῆς ἡμέρας εἰς τὸ κατὰ τὸν ἀλγοῦντα οὖς. καὶ αὐτὸς δὲ ὁ καρπὸς μετ᾽ οἴνου λεῖος ἐπιχριόμενος ἐπὶ τὸν ὀδόντα ὠφελεῖ. τούτων ἐφεξῆς ὁ Ἀρχιγένης καὶ τάδε γράφει. ἄκρως γὰρ ποιεῖ καὶ αἱμασσομένοις οὔλοις ὑγρὰ στυπτηρία μετὰ τοῦ διπλοῦ ἁλόης προσάπτου ἢ σχιστῇ καὶ μυρσίνῃ λειοτάτοις παράτριβε. στυφθέντων δὲ μέλιτι χρῖε, ἢ Περσαίων τῶν μαχαιρίων μέρη δύο, σμύρνης μέρος ἓν περικαθάρας ἔνθες, ἄπονον ποιεῖ. τοῖς δὲ τεθραυσμένοις καὶ ἀλγοῦσιν ὀδοῦσιν καυτήριον ἐπιτίθει πυρώσας.

12.862 Περὶ ἀποφλεγματισμῶν. Ἐφεξῆς τῶν προγεγραμμένων ὁ Ἀρχιγένης οὕτως ἔγραψεν. ἀποφλεγματισμοὶ δὲ ἄριστοι τοῖς ὀδονταλγοῦσιν· σταφὶς ἀγρία διαμασηθεῖσα ἰδίᾳ καὶ μετὰ γλήχωνος ἢ κηκίδος τὸ ἔνδοθεν μέλαν, δακέτω τῷ ἀλγοῦντι ὀδόντι καὶ ἕα ἀπορρεῖν. εἰς δὲ τὸ ἀντικείμενον οὖς ἔνσταζε κισσοῦ δύο κορύμβους μετὰ ῥοδίνου λελεασμένους, ἢ μυρίκης καρποῦ δραχμὰς β′. ἀφρονίτρου ‹ α′. στυπτηρίας ὀλίγον, σκορόδων πυρῆνας ε′. μυρσίνης φύλλα ὀλίγα, σὺν ὄξει κινῶν σπάθῃ δᾳδίνῃ, ἕψε μέχρι ἡμίσεος καὶ δίδου διακλύζεσθαι καὶ διακρατεῖν, εἶτα χαίνοντες ἐάτωσαν ῥεῖν τὸ φλέγμα, καὶ μετὰ τοῦτο ῥοδίνῳ ἐλαίῳ διακλυσάμενοι πτισάνην δίδου ῥοφῆσαι. ἐὰν δέ τινα ἐκ τοῦ διακλύσματος περὶ στόμα ἑλκωθῇ, κρόκῳ καὶ ῥόδων χυλῷ διάχριε.

Περὶ πυριῶν. Πυρίαι δὲ ποιοῦσι πρὸς ὀδονταλγίαν, ἔξωθεν μὲν αἱ δι᾽ ἁλὸς πεφρυγμένου ἢ κέγχρου εἰς μαρσύππους ἐμβεβλημένων ἢ καὶ διὰ ῥυπαρῶν ῥακίδων εὖ μάλα θερμανθέντων, ἢ καὶ ἐπιθέματα διὰ τῶν
12.863 χωρὶς ὑδάτων, ὡς τὰ δι᾽ ὠμῆς λύσεως, εἴτε κρίθινον εἴτε λινόσπερμα. αὐτοῦ δὲ τοῦ ἀλγοῦντος ὀδόντος πυρίᾳ οὕτω χρηστέον. ὀριγάνου ξηροῦ κλώνιον εἰς ζεστὸν ἔλαιον βάπτων, τῷ πονοῦντι ὀδόντι ἄνωθεν ἐπέρειδε, ἢ κίκεως καυλὸν ὁμοίως, ἢ σταφίδα ἀγρίαν εἰς ὀξύ τι αὐτὴν πήξας, ἢ κηρὸν ἐπιτιθεὶς τῷ ἀλγοῦντι ὀδόντι, πυρῆνι μήλης θερμοτάτῳ προσάπτου συνεχῶς, ἢ ὀποπάνακα καὶ ὀπὸν πευκεδάνου, ἴσα ἑνώσας ὀθονίῳ ἔνδησον καὶ εἰς ζεστὸν ἔλαιον τῆξον. ὅταν δὲ ἄρξηται ζέειν τὸ φάρμακον, ἐπιτίθει τῷ ὀδόντι καὶ προσπίεζε μύλῃ, χρῶ πρωΐ καὶ δείλης καὶ καθὸ εἶπον, συμπυρία ἐκτός τε καὶ ἐντὸς πρὸ τροφῆς. καὶ μετὰ τροφὴν μὴ πολὺ λίαν διαστησάντων ἀπὸ τροφῆς χρῶ. εἶδος δὲ πυρίας ἐστὶ καὶ τὸ τοιοῦτον, εὖ μάλα περικαθάρας τὸν ὀδόντα καὶ σκεπάσας τὸν πάσχοντα, ἀναγκάσας τε χαίνειν ὑποθυμία ὑοσκυάμου σπέρματι. εἰ δὲ πρὸς μηδὲν τῶν προγεγραμμένων εἴκει, ἔγκειται δὲ ἰσχυρῶς ὁ πόνος, λεπτῷ τρυπάνῳ τρήσας τὸν ὀδόντα, χρῶ τοῖς εἰρημένοις βοηθήμασιν,
12.864 εἴωθε γὰρ μᾶλλον οὕτως ὠφελεῖν. εἰ δὲ μηδ᾽ οὕτως ὑπακούει καὶ δόξειεν ἀρθῆναι τὸν ὀδόντα, ἀπόνως ἀρθείη φαρμάκῳ συμφωνοῦντι λίαν τῷδε. πύρεθρον δριμυτάτῳ ὄξει ἐφ᾽ ἡμέρας μ′. ταριχεύσας τρῖψον καὶ ἀπόθου. ἐπὶ δὲ τῆς χρείας τοὺς λοιποὺς κηρώσας καὶ ἀσφαλισάμενος αὐτόν τε τὸν ἀλγοῦντα περικαθάρας περίπλασον τῷ φαρμάκῳ, εἶτα διαστήσας ὥραν ἔκλυσον τοῖς δακτύλοις ἢ γραφείῳ ἀνάλαβε, ἢ σῶρυ μετ᾽ ὄξους δριμυτάτου ἐπὶ πολλὰς ἡμέρας κατάπλασσε, καὶ ἐκπεσεῖται. ἢ μολύβδαιναν λείαν κηρωτῇ ἀναληφθεῖσαν ἐπίθες. ἐξάγει σφοδρῶς τιθυμάλλου ὀπὸς καὶ σῶρυ μετὰ χαλβάνης καταπλασσόμενα.

Περὶ τῶν ὑπ᾽ Ἀπολλωνίου γεγραμμένων ἐν τῷ πρώτῳ τῶν εὐπορίστων. Πρῶτον μὲν αὐτῶν κεφάλαιόν ἐστι τὰ πρὸς ὀδονταλγίας διακλύσματα, μηδὲν ἔχοντα πλέον τῶν ὑπ᾽ Ἀρχιγένους γεγραμμένων. δεύτερον δὲ πρὸς ὀδόντας βεβρωμένους ἐπαλγεῖς, ἐπιθέματα καὶ ἐμπλάσματα. τρίτον ἐπὶ τούτοις πυρίαι καὶ καύσεις, πρὸς ὀδονταλγίας. τέταρτον ὑποθυμιάματα
12.865 πρὸς τοὺς πόνους τῶν ὀδόντων. πέμπτον ὀδοντικὰ διαμασήματα καὶ καθαρτικά. καὶ πρὸς τούτοις ἕκτον ἀναγαργαρίσματα πρὸς ὀδονταλγίας.

ἕβδομον δὲ κεφάλαιον ἔγραψε πρὸς ὀδονταλγίας ἐγχύματα εἰς τὸ οὖς, ὧν οὐδενὸς μνημονεύειν ἔτι ἠξίωσα τῷ βουλομένῳ παραναγινώσκειν τὸ βιβλίον, οὐ πάνυ τι τῶν δυσπορίστων ὑπάρχον. ἐγὼ δὲ τοῖς ὑπ᾽ Ἀρχιγένους γεγραμμένοις ἠρκέσθην, ἐφεξῆς δὲ γράψαντος τοῦ Ἀπολλωνίου ἔγχυτα εἰς τὴν ῥῖνα ἔδοξέ μοι προσθεῖναι.

Πρὸς ὀδονταλγίας ἐγχύματα εἰς τὴν ῥῖνα, ὡς Ἀπολλώνιος ἐν τῷ πρώτῳ τῶν εὐπορίστων. Σεύτλου ῥίζης τὸν χυλὸν αὐτὸν καθ᾽ ἑαυτὸν ἐγχυμάτιζε εἰς τὴν ῥῖνα καὶ λύσεις τοὺς πόνους τῶν ὀδόντων. κυμίνου ὅσον τοῖς τρισὶ δακτύλοις καὶ σμύρνης ὅσον κύαμον καὶ σικύου τὸ ἐντὸς ὅσον διπλάσιον, τρίψας καὶ γάλακτι γυναικὸς μίξας ἀνάπλασον κολλύρια καὶ ἔνθες εἰς ἑκάτερον τῶν μυκτήρων, εἶθ᾽ οὕτω κέλευσον ἀνασπᾶν, ἐφ᾽ ὅσον ἄν τις διέλθοι στάδια πέντε, εἶτα ἐκμάξασθαι τὸ φάρμακον τοῦτο καὶ πρὸς ὠταλγίαν ποιεῖ.

12.866 Πρὸς τὸ μὴ κόπτεσθαι τοὺς βεβρωμένους ὀδόντας μηδὲ ποιεῖν δυσωδίαν. Ἐλλεβόρου μέλανος ἡλίκον ὄροβον ἐν μέλιτι ἐφθῷ ἐντίθει.

Πρὸς ὀδόντας μεμελασμένους. Ὄστρακον καλλάινον ὀπτήσας καὶ λεάνας παράτριβε τοὺς ὀδόντας, οὕτω δὲ οὖλα κρατύνει. ἄλλο. ἅλα ὀρυκτὸν μέλιτι φυράσας ὄπτησον ἐπικληματίσι καὶ τρίψας μῖξον σμύρνης βραχὺ καὶ χρῶ παραπλησίως. ἄλλο. ⳾ γλήχωνος μέρος ἓν, ἁλὸς τὸ ἴσον, ταῦτα φυράσας ὕδατι ὄπτησον ἐν τῷ αὐτῷ, ἕως ἄνθραξ γένηται καὶ λεάνας ἀπόσμα τοὺς ὀδόντας. ἄλλο. ἰσχάδας κατακαύσας καὶ τρίψας νάρδου βραχὺ καὶ μέλιτι διεὶς χρῶ. τοῦτο καὶ οὖλα συστέλλει. ἄλλο. ἄλφιτον φυράσας ἐν ὄξει δριμυτάτῳ κατάκαυσον καὶ λεάνας παράτριβε τοὺς ὀδόντας, τοῦτο καὶ τὰ οὖλα κρατύνει. ἄλλο. ⳾ ἀλαβάστρου κεκαυμένου ‹ η′. κισσήρεως κεκαυμένου ‹ δ′. ἁλὸς πεφρυγμένου ‹ γ′. λεάνας ὡσαύτως χρῶ. διακλύσματι δὲ χρηστέον ἀπὸ τούτων, οἴνῳ εὐώδει ἀποβεβρεγμένης ἐν αὐτῷ πρὸ χρόνου πλείονος ἴριδος ξηρᾶς.

12.867 Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα πρὸς ὀδόντας ἐν τῷ πρώτῳ τῶν ἐντός. Ἡρακλείδου Ταραντίνου πρὸς σειομένους ὀδόντας. Χρηστέον τῇ Κυπρίᾳ σποδῷ παραστέλλοντας τὰ οὖλα καὶ φλόμου ταῖς ῥίζαις ἐψημέναις, ἔπειτα ἀποπλύνειν ὕδατι ἢ μυρσίνης ἢ βάτου ἢ δάφνης, ἔπειτα τῇ σποδῷ

παραψάμενος ἡσυχάζειν κελεύειν. ἄλλο. ⳋ ἐλλεβόρου μέλανος χειρόπληθες, μανδραγόρου τῆς ῥίζης ‹ δ′. ὑοσκυάμου τῆς ῥίζης ‹ δ′. βαλὼν εἰς ἄγγος κεραμεοῦν καὶ οἴνου Χίου κοτύλας γ′. ἢ Κώου ὡς βελτίστου ἕψε ἐπ᾽ ἀνθρακιᾶς μεγάλης, ὑπολειφθείσης δὲ τῆς ἡμισείας χυλίσας τὸ ὑγρὸν, δίδου ἐν τῷ στόματι διακρατεῖν.

Ξηρὸν πρὸς σειομένους ὀδόντας. ⳋ Τερμίνθου καρποῦ πεφρυγμένου ‹ η′. στυπτηρίας σχιστῆς κεκαυμένης ‹ η′. βαλαυστίου ‹ β′. κηκίδων ‹ α′. κρόκου ‹ α′. σμύρνης ‹ α′. λείοις χρῶ. ἄλλο. ⳋ κέρατος ἐλαφείου κεκαυμένου ‹ η′. ῥοῦ ἐρυθροῦ ‹ δ′. ὀμφακίου ‹ β′. βαλαυστίου ‹ δ′. πίτυος φλοιοῦ ‹ α′. σμύρνης Ἀμιναίας ‹ α′. λείοις χρῶ.

Διάκλυσμα πρὸς μυλαλγίας. Σμυρνίου τὰς ῥίζας ἕψε μετ᾽ ὀξυμέλιτος καὶ
12.868 τὸ ὑγρὸν διυλίσας δίδου ἐν τῷ στόματι κρατεῖν. ἄλλο. λαπάθου ἀγρίου ῥίζας καὶ πλατάνου σφαιρία ἕψε μετ᾽ ὀξυμέλιτος καὶ δίδου καθὰ προείρηται.

Διαμασήματα πρὸς μυλαλγίας. ⳋ Κάγχρυος δραχμὰς β′. ὀριγάνου ‹ β′. πεπέρεως λευκοῦ ‹ α′. σμύρνης ‹ α′. σταφίδος γνησίας ἢ τῆς ἄλλης λιπαρωτάτης ′′. τὴν σταφίδα κόπτε φιλοπόνως· τὸ δὲ σμύρνιον μέλιτι διαλύσας, τὰ δὲ ξηρὰ κόψας καὶ σήσας λεπτῷ κοσκίνῳ ἐπίβαλλε τῇ σταφίδι καὶ τῇ σμύρνῃ καὶ μίξας ποίει μαλαγματῶδες· ἐν δὲ τῇ χρήσει δίδου καρύου Ποντικοῦ τὸ μέγεθος διαμασᾶσθαι. ὑγρῶν δὲ συναγομένων τὸν κάμνοντα κεχηνέναι δεήσει καὶ κάτω νεύειν, ὥστε τὸ ὑγρὸν εὐχερῶς ἀπορρεῖν. μετὰ δὲ τὴν χρῆσιν τοῦ φαρμάκου οἴνῳ προσκλύζεσθαι παραίνει. ἄλλο. ⳋ σταφίδος λιπαρᾶς χωρὶς τῶν γιγάρτων ′′. πεπέρεως λευκοῦ ὀξύβαφον, κόκκου κνιδίου ‹ β′. ναρδοστάχυος ‹ β′. κασσίας ‹ α′. πυρέθρου ‹ β′. σμύρνης ‹ β′. σκεύαζε καὶ χρῶ καθὰ προείρηται.

12.869 Πρὸς βεβρωμένους ὀδόντας φυλακτικόν. τούτῳ χρησάμενος διετήρησα βεβρωμένους ὀδόντας ἀνωδύνους. Ζίγγιβερ ἕψε μετ᾽ ὀξυμέλιτος καὶ τρίψας ἐπιμελῶς ἐντίθει εἰς τὸ τρῆμα καὶ περίπλαττε ἔξωθεν. ἄλλο. κισσοῦ δάκρυον χαλβάνῃ μίξας ἢ ὀπῷ τιθυμάλλου ἢ συκῆς ἀγρίας διαλύσας χρῶ ὡς προείρηται.

Ἄλλο ἀνώδυνον πρὸς περιωδυνῶντας καὶ βεβρωμένους ὀδόντας. ἔστι δὲ καὶ βηχικὸν ἀγαθόν. ⁋ Ὀποῦ μήκωνος ‹ β′. πεπέρεως λευκοῦ κεκομμένου καὶ σεσησμένου ‹ α′. σμύρνης δραχμὰς β′. στύρακος ‹ β′. χαλβάνης ‹ α′. γλυκέος εἰς ἀνάληψιν ὅσον ἀρκεῖ, κόπτε ὁμοῦ καὶ ἀνάπλαττε καταπότια καὶ περίπλαττε τὸν ὀδόντα καὶ ἐντίθει τῷ βρώματι. ἄλλο. ⁋ ὑοσκυάμου χυλοῦ ‹ β′. σμύρνης δραχμὰς β′. ὀπίου ‹ β′. χαλβάνης δραχμὰς β′. στύρακος ‹ β′. ζιγγιβέρεως δραχμὰς β′. πεπέρεως ‹ α′. ὀποῦ Συριακοῦ τὸ ἴσον, γλυκέος ὅσον ἐξαρκεῖ. σκεύαζε καὶ χρῶ καθὰ προείρηται.

Μυλικὴ ἀγαθὴ, ἐπὶ πολλῶν θαυμασθεῖσα. ⁋ Ἐλαίας δακρύου ‹ α′. σμύρνης δραχμὰς β′. ἐλλεβόρου μέλανος ‹ α′. ὀποβαλσάμου σπέρματος
12.870 δραχμὴν μίαν, στύρακος ‹ α′. πεπέρεως δραχμὴν μίαν, ὑοσκυάμου δραχμὴν μίαν, μηκωνείου ‹ α′. καστορίου τετρώβολον, χαλβάνης δραχμὰς στ′. ὀποῦ Κυρηναϊκοῦ ‹ α′. ὀποῦ καρπάσου ‹ α′. πάνακος ‹ α′. σαγαπηνοῦ τετρώβολον, πυρέθρου τετρώβολον, σταφίδος ἀγρίας ‹ β′. κεδρίας τὸ αὔταρκες, ὥστε ἐμπλαστρῶδες γενέσθαι. ἄλλο. ⁋ θείου ἀπύρου ‹ δ′. ἀσφάλτου δραχμὰς β′. ἀμόργης ἐλαίου ‹ δ′. πίσσης ὑγρᾶς δραχμὰς η′. κεδρίας δραχμὰς ιβ′. πεπέρεως μακροῦ δραχμὰς δ′. ὀπίου δραχμὰς δ′. πυρέθρου ‹ δ′. σταφίδος ἀγρίας ‹ α′. ἐλλεβόρου μέλανος ‹ α′. κόκκου Κνιδίου ‹ α′. ὀποπάνακος ‹ α′. πίσσης ξηρᾶς λίτραν μίαν. ὄξει ἀναλάμβανε τὰ ξηρὰ, εἶτα ἐπίβαλλε τὰ τηκτὰ καὶ ἀνελόμενος χρῶ, περιπλάττων τὴν μύλην τῷ φαρμάκῳ.

Πρὸς τοὺς ἐρρωμένους ὀδόντας, ὥστε ἀπόνως σαλεύεσθαι. Πύρεθρον εἰς ὄξος βαλὼν, ἔα ἐπὶ ἡμέρας γ′ ἢ δ′. ἔπειτα τρίψας ἐπιτίθει τῷ πεπονθότι ὀδόντι, φυλαττόμενος τοὺς παρακειμένους ὀδόντας. δεῖ δὲ περικαθαίρειν
12.871 ἐπιμελῶς καὶ τότε περιπλάττειν τὸ φάρμακον καὶ τοῦτο ποιεῖν ἐπὶ δύο ἢ τρεῖς ἡμέρας, οὕτω γὰρ ἀπόνως σαλεύεται. ἄλλο. ⁋ σικύου ἀγρίου τὰς ῥίζας, τοῦτο σκευάσας, ὥσπερ τὸ πύρεθρον, χρῶ καθὰ προείρηται.

Περὶ τῶν σειομένων ὀδόντων καὶ τῶν ἐξεχόντων. Εἴρηται μέν μοι καὶ πρόσθεν, ὡς διὰ γεροντικὴν ἡλικίαν ἔνιοι σείονται ξηραινόμενοι, βραχεῖαν ἐκ τῶν συναγομένων οὔλων φαρμάκοις στύφουσι βοήθειαν ἔχοντες, εἰρήσεται δὲ καὶ νῦν ὅπως ἔνιοι πληγέντες ἐσείσθησαν. εἰσὶ δὲ οἳ

καὶ χωρὶς πληγῆς, ἐφ᾽ ὧν τεκμαίρομαι διαβρεχόμενον ὑγρότητι πολλῇ τὸ καταφυόμενον εἰς τὰς ῥίζας αὐτῶν νεῦρον χαλᾶσθαι καὶ διὰ τοῦτο τοῖς ξηραίνουσι φαρμάκοις θεραπεύεσθαι. ἐπεὶ δὲ προπετεστέρους τῶν ἄλλων ἑώρων τοὺς σειομένους ὀδόντας γινομένους, καὶ μάλιστα ὅταν ἐκ πληγῆς πάθωσιν, ἔδοξέ μοι ῥινᾷν αὐτῶν τοσοῦτον, ὅσον ὑπὲρ τοὺς ἄλλους ἐστὶν, ὅπως μὴ προσκρούσωσι τοῖς ἀντιτεταγμένοις ἐν τῷ διαλέγεσθαι καὶ μασᾶσθαι. εὑρὼν δὲ καὶ τὴν πεῖράν μοι μαρτυρήσασαν
12.872 σιδήριον ἐποίησα ῥινίον, ὡς ἐνεργεῖν ταχέως. αἱ γὰρ πολλαὶ παραγωγαὶ σείουσι τὸν ὀδόντα δεόμενον ἀκινησίας, εἰ μέλλοι παγήσεσθαι. ποτὲ μὲν οὖν ἐξοχαί τινες ἀνώμαλοι φαίνονται τῶν ὀδόντων κατά τινα μέρη ῥινήσεως δεόμεναι, ἔσθ᾽ ὅτε δὲ καὶ ὁμαλὲς ἔχουσαι τὸ πέρας ὁμαλοῦς καὶ τῆς ῥινήσεως δέονται. χρὴ δὲ περιθέντα τοῖς οὔλοις ἄχρι τῆς ῥίζης τῶν ὀδόντων ὀθόνην μαλακὴν, εἶτα περιλαμβάνοντα πρᾴως τοῖς δακτύλοις τῆς ἀριστερᾶς χειρὸς, ἀσφαλῶς τε ἅμα καὶ ἀθλίπτως, ὅπως μὴ σείοιτο ῥινώμενος, οὕτως ἐπιχειρεῖν τῇ χειρουργίᾳ. ἐὰν δὲ ἀλγήματος αἰσθάνηται ἐν τῷ παράγεσθαι τὴν ῥίνην καὶ μὴ διακρατεῖσθαι σφοδρότερον τοῖς δακτύλοις τὸ πεπονθὸς, παύεσθαι μὲν ἐν τῷ παραυτίκα, προσενεγκόντα δὲ ἐν τῷ μεταξὺ τῶν ῥηθησομένων τι φαρμάκων αὖθις ἐπιφέρειν, ὡς εἴρηται, βραχύ τε διαστήσαντα μέχρι τοῦ κατὰ τὸν ὀδόντα πέρατα ἀποτρῖψαι, καὶ τοῦτο ποιεῖν οὐ τῇ πρώτῃ μόνον ἡμέρᾳ δίς που καὶ τρὶς, ἀλλὰ τῇ δευτέρᾳ προστάξαντα τῷ πάσχοντι μήτε
12.873 διαλέγεσθαί τι μήτε σκληρὸν ἔδεσμα προσφέρεσθαι, χρῆσθαι δὲ τροφῇ χυλῷ πτισάνης καὶ ῥοφήματι τῷ ἐκ χόνδρου καὶ ἄρτῳ διαβρόχῳ καὶ τοῖς οὕτω μαλακοῖς. ἡ δὲ τῶν ὠφελούντων τοὺς σειομένους ὕλη τοιάδε τίς ἐστι.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα πρὸς σειομένους ὀδόντας κρατυντικά. Τοὺς δὲ σειομένους ὀδόντας στῆσαι θέλων, σμύρνης, πομφόλυγος, στυπτηρίας σχιστῆς, ἀμύλου ἴσα λείοις προσάπτου. ἢ ἐλαιῶν λευκῶν χυλὸν καὶ πήγανον μέλιτι μίξας παράτριβε, εἶτα περίπλασσε νάρδῳ μετὰ στυπτηρίας ὑγρᾶς. ἢ στρογγύλῃ στυπτηρίᾳ μεθ᾽ ἁλὸς διπλοῦ τοῖς ὀδοῦσι περίπλασσε. ἢ σχιστῆς καὶ μίσυος ἴσα μετὰ κεδρίας, πάχος ὑγρᾶς κηρωτῆς περίχριε τοὺς ὀδόντας καὶ ἔα ἀπορρεῖν φλέγμα, εἶτα διακλυζέσθω ὀνείῳ γάλακτι θερμῷ ἢ ὄξει ἢ οἴνῳ ἐναφεψημένων σιδίων καὶ κηκίδος.

Πρὸς τοὺς ἠσθενηκότας ὀδόντας ἢ μύλας. Μέλι, κηρὸν, ἴσα ἐν ἡλίῳ θερμῷ ὕδατι ἀνιεὶς, πίσσης τὸ ἥμισυ πρόσμιξον, καὶ ποιήσας ἐμπλαστρῶδες, δίδου διαμασᾶσθαι. ἐὰν δὲ ᾖ ξηρὸν, βραχὺ ἔλαιον
12.874 πρόσμιξον· ἄκρως ποιεῖ καὶ ἡ Χία μαστίχη μασωμένη. πρὸς αἱμωδίαν. ἐπὶ δὲ αἱμωδίας ἀνδράχνην διαμασάσθωσαν ἢ ἔλαιον θερμὸν διακρατείτωσαν.

Περὶ δὲ τῶν ὀδοντοφυούντων ἔγραψεν ὁ Ἀρχιγένης. Περὶ δὲ τῶν ὀδοντοφυούντων βρεφῶν, ἐὰν ὦσιν ἐπαλγεῖς, κυνείῳ γάλακτι τὰ οὖλα περίχριε. ἢ λαγωοῦ ἐγκεφάλῳ, ἐὰν χρίσῃς τὰ οὖλα βρέφους, ταχέως ὀδοντοφυεῖ.

Περίαπτα δὲ ἀντιπαθῆ ὀδοῦσιν, ἃ δοκεῖ πιστευθῆναι, τάδε. Ἐὰν ὀδονταλγοῦντι βατραχίου φύλλα ἐπὶ τοῦ κατὰ τὸν ἀλγοῦντα βραχίονος ἐπιθῇς, ἀπόνους μὲν ποιεῖ, ἑλκοῖ δὲ τὸν βραχίονα, ὃν θεραπεύσεις ὡς προσήκει. ἐὰν δὲ ὀδοντοφυοῦν παιδίον ἀλγήματα ἔχῃ, τὸ τοῦ παλαιοῦ κοχλίου κέρας ἐνδήσας δέρματι περίαπτε.

Περὶ οὔλων πόνων. Οὔλων πονούντων διακλύσματα μὲν ποιεῖ σχεδὸν τὰ καὶ πρὸς ὀδονταλγίαν γεγραμμένα, πλὴν ἰδιαίτερον ποιεῖ ὄξος, ἀπεζεσμένης ὑοσκυάμου ῥίζης. τὰ δὲ φλεγμαίνοντα οὖλα στυπτηρίαν μεθ’ ἁλὸς τετάρτου μέρους λείοις προσάπτου, μετὰ δὲ τὸν δηγμὸν οἴνῳ ἢ
12.875 ἐλαίας φύλλων ἀφεψήματι διακλυζέσθωσαν. ἐπὶ δὲ τῶν ῥευματιζομένων καὶ περιβιβρωσκομένων μετὰ ἐξοιδήσεώς τε καὶ ὀδύνης καὶ ὑπονεμομένων ἄκρως ποιεῖ ἡ πυρία. πυριᾷν δὲ μηλωτίδι ἔριον περιδήσας, εἰς ζεστὸν ἔλαιον ἀπόβαπτε καὶ πρόσαγε τοῖς οὔλοις ἕως ἐξομαλισθῇ καὶ λευκὰ τὰ κύκλῳ γένηται. οὕτω γὰρ ἵσταται ἡ νομὴ καὶ ἐξ ὑγιοῦς τῆς σαρκὸς τὸ περιβρωθὲν τρέφεται. μετὰ ταῦτα δὲ χρῶ προστρίμμασι καὶ τοῖς ἀναγεγραμμένοις περὶ ὀδόντων. ἰδίως δὲ συμφωνεῖ κηκὶς λειοτάτη, ὀξύβαφον μετὰ σμύρνης ὡς κυάθου τὸ μέγεθος, χρῶ λείοις ξηροῖς. ἐὰν δὲ ἐκφυόμενος ὀδοὺς δυσχερῶς ἀναστέλλῃ καὶ διακεντῇ τὸ οὖλον, κύπρον μετὰ βουτύρου καὶ μύρου σουσίνου χρῖε κατὰ τὴν ἔκφυσιν. περὶ ἐπουλίδων. ἐπὶ δὲ τῶν ἐπουλίδων προσάπτου χαλκάνθῳ καὶ μυρσίνῳ ἴσοις μετ’ ὀλίγης σχιστῆς. ποιοῦσι δὲ καὶ αἱ πλείους τῶν ἀνθηρῶν.

Προφυλακτικὰ ὀδόντων. Καὶ τὰ προφυλακτικὰ δὲ τῶν ὀδόντων τῆς
12.876 ἀλγηδόνος Ἀρχιγένης οὕτως ἔγραψε κατὰ λέξιν. ἐπὶ δὲ τῶν περὶ τοὺς ὀδόντας ἀλγημάτων φυλακτικὰ μὲν ἁρμόζει τὰ τοιαῦτα, τιθυμάλλου ῥίζας ἑψήσας ἐν οἴνῳ μέχρι ἡμίσεος, δὶς τοῦ μηνὸς διακλύζου καὶ οὐδέποτε ἀλγήσεις. καλῶς διατηρεῖ ἀπόνους καὶ ἰσχυροὺς τοὺς ὀδόντας, ἐὰν κύαμον Αἰγύπτιον δίχα τοῦ ἐντὸς πικροῦ λεῖον ποιῶν, παρατρίβῃς τοὺς ὀδόντας καὶ τὰ οὖλα ἅπαξ τοῦ ἔτους. ἢ σχιστῇ μετ᾽ ὀλίγης σμύρνης παράτριβε καὶ οὐδέποτε βρωθήσονται. ἐὰν δὲ ἀποστύφῃ, μέλιτι χρῶ. ἢ ἀρκευθίδας λεπτὰς καὶ κυπαρίσσου φύλλων τὸ ἴσον, κηκίδος ὀλίγον σὺν μέλιτι ἐφθῷ δραχμιαίους τροχίσκους ποιήσας χρῶ, προδιαμασῶ καὶ ἐπιδιακλύζου οἴνῳ εὐώδει. ἢ ἴρεως Ἰλλυρικῆς καρύου Ποντικοῦ μέγεθος διαμάσησαι καὶ ὁμοίως διακλύζου. ἢ προσμίξας ἁλσὶν ὀμφακίνην κηκίδα ἐν οἴνῳ εὐώδει ἐψημένην διαμασῶ. ἄριστα δὲ ποιεῖ πρός τε φυλακὴν ἀλγημάτων ῥῶσίν τε τῶν οὔλων καὶ τῶν ὀδόντων, ἔτι δὲ εὐπρέπειαν καὶ τὰ ὑπογεγραμμένα σμήγματα. ἔρια οἰσυπηρὰ ὀθονίῳ ἐνδήσας καῦσον,
12.877 εἶτα ἁλῶν τὸ τρίτον μίξας λείοις σμήχου. ἢ δασύποδος κεφαλὴν κεκαυμένην λεάνας χρῶ. ἢ ἅλας καὶ μέλι λεάνας, μέχρι κηρωτῶδες γένηται, καθαρῷ ὀθονίῳ ἐνδήσας καῦσον, εἶτα μίξας ἴριν Ἰλλυρικὴν ὀλίγην σμῆχε τοὺς ὀδόντας.

Τὰ ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα πρὸς ἁπάσας ὀδύνας ὀδόντων μυλικὴ αὐθωρὸν παύουσα. ⳨ Πεπέρεως, πυρέθρου, ὀποῦ τιθυμάλλου, χαλβάνης ἀνὰ ᾱ. λεάνας, ἀναλάμβανε τὴν χαλβάνην καὶ ἐντίθει εἰς τὸ βρῶμα.

Μυλητικὴ Ἀντιφάνους, κἂν μὴ περικαθάρῃς, ἐντίθει καὶ περίπασσε τὸν ὀδόντα. ⳨ Ὑοσκυάμου σπέρματος, ὀπίου, νίτρου, σμύρνης, πυρέθρου, πεπέρεως ἀνὰ ᾱ. χαλβάνης β. μετ᾽ οἴνου λείοις χρῶ. ἄλλη μυλικὴ ᾗ χρῶμαι. ⳨ Στυπτηρίας σχιστῆς ᾱ. πεπέρεως λευκοῦ β. ὀποπάνακος ἢ πεπέρεως μακροῦ τετρώβολον, σώρεως τετρώβολον, κόμμεως βεβρεγμένου ἐν ὕδατι β. τῆς ὅλης σταθμίας, κηροῦ τὸ διπλοῦν, ἀνατρίβων ἐν ὕδατι θερμῷ πρόσμιξον καὶ οὕτω χρῶ. ἄλλη ἡ Χαιρέα. ⳨ σμύρνης ᾱ. ἐλλεβόρου ᾱ ΄΄. πυρέθρου ᾱ ΄΄. ἴρεως Ἰλλυρικῆς ᾱ
12.878 ΄΄. στυπτηρίας σχιστῆς τριώβολον, ὕδατι λεάνας περίχριε τὸν ὀδόντα καὶ ἐπάνω κηρὸν ἐπίθες. ἄλλη μυλικὴ ἐκ τῶν Ἀφρόδα. ⳨ στυπτηρίας

σχιστῆς ‹ δ′. σμύρνης τριώβολον, πεπέρεως κόκκους ε′. ἐγὼ δὲ τριώβολον καὶ κάλλιον ποιεῖ, ῥητίνῃ ἀναλάμβανε προπερικαθάρας, ἐντίθει εἰς τὸ βρῶμα ἐπάνω καὶ σπλήνιον ἐγχρίσας ἐπιτίθει. ἄλλη μυλικὴ τοῦ αὐτοῦ· καὶ μὴ περικαθάρας ἐντίθει εἰς τὸ βρῶμα καὶ ἐπάνω τοῦ φαρμάκου σπλήνιον περίπλασσε, ποιεῖ ὑοσκυάμου σπέρματος, ὀποῦ μήκωνος, σμύρνης, νίτρου, πυρέθρου, πεπέρεως λευκοῦ, ἑκάστου μέρος α′. χαλβάνης μέρη β′. μετ᾽ ὄξους λεάνας χρῶ. ἄλλη ἐκ τῶν Ἀφρόδα. ⁋ ὀποῦ πευκεδάνου ‹ α′. ὀποῦ μήκωνος ‹ α′. τιθυμάλλου μυρσινήτου, ὀποῦ Κυρηναϊκοῦ ἀνὰ ‹ α′. χαλβάνης ‹ α′ ′′. τῇ χαλβάνῃ ἀναλάμβανε καὶ εἰς τὸ βρῶμα ἐντίθει καὶ περικαθάρας σπληνίῳ ἔμπλασσε, ὥρᾳ μιᾷ παύει. μυλικὴ καλή. στυπτηρίας σχιστῆς μηκωνείῳ ἀναλαβὼν χρῶ, ἐντιθεὶς καὶ περιπλάσσων. μυλικὴ ἄλλη ὡς Ἀριστοκράτης. ⁋ μήκωνος ‹ β′. σαγαπηνοῦ ὀβολὸν α′ ′′. ὀποῦ Κυρηναϊκοῦ τὸ ἴσον, πεπέρεως ‹ α′.

12.879 σφονδύλου τὸ ἴσον, σμύρνης τὸ ἴσον, χαλβάνης τὸ ἴσον, πυρέθρου τὸ ἴσον, κρόκου τὸ ἴσον, μέλι ὡς γλοιῶδες γενέσθαι.

Πρὸς ἀλγήματα ὀδόντων καὶ οὔλων καὶ πολλὰ τοῦ Ἀριστοκράτους γραμματικοῦ. ⁋ Μέλιτος λίτραν μίαν, ὄξους δριμέος α′. στυπτηρίας σχιστῆς γο στ′. οἱ δὲ ὑγρᾶς γο δ′. ἔψε μέχρις ἂν μελανθῇ. πρὸς ὀδόντας σειομένους. ⁋ στυπτηρίας σχιστῆς μέρος α′. μάννης μέρος α′. λείοις χρῶ, προσπάσσων τὸν σειόμενον ὀδόντα.

Πρὸς ὀδόντων βρῶσιν καὶ πόνους. Πενταφύλλου ῥίζας σὺν οἴνῳ ἑψήσας δίδου διακλύζεσθαι μετὰ τὸ δεῖπνον, ἀφέψου δὲ εἰς τὸ τρίτον μέρος. ἄλλο. λαπάθου ῥίζας σὺν οἴνῳ ἢ ὄξει ἑψήσας, ἀρσενικὸν λεῖον ἐπιπάσας, ὀλίγον τοῦ ὑγροῦ δίδου διακρατεῖν, ἐψέσθω δὲ ἄχρις ἂν εἰς τὸ τρίτον ἔλθῃ. πρὸς οὖλα πλαδαρά. ⁋ πυρέθρου ‹ γ′. θύμου ‹ β′. στυπτηρίας σχιστῆς τριώβολον, ἴρεως Ἰλλυρικῆς ‹ α′. λείοις χρῶ καὶ ἐπιτίθει τοῖς οὔλοις.

Παρὰ Πυθίου πρὸς σειομένους ὀδόντας καὶ οὖλα πλαδαρὰ καὶ ὑποφθοράς

12.880 Στυπτηρία στρογγύλη ἐνειληθεῖσα χάρτῃ καίεται, εἶτα λεανθεῖσα χρωΐζεται μίλτῳ. τούτων προσάπτου τῶν οὔλων καὶ ἐντίθει τοῖς ὑποφθορίοις.

Παρὰ Διοκλέους ἰατροῦ πρὸς ὀδόντων πόνους. ⸗ Χαλβάνης, ὀπίου, πεπέρεως, κηροῦ, σταφίδος ἀγρίας, κόκκου κνιδίου ἀνὰ ‹ α΄. λεάνας ἀναλάμβανε κηρῷ καὶ περίπλασσε.

Πρὸς βεβρωμένους ὀδόντας ἄλλο εὔθετον. Ὀπὸν σιλφίου ἐντίθει ἢ αὐτὴν τὴν ῥίζαν ἢ χαλβάνην μετὰ πεπέρεως ἢ ὄπιον μετὰ χαλβάνης ἢ ὀποπάναξ ἐμπλασσόμενος. πρὸς ὀδόντων πόνους. ⸗ σώρεως ‹ β΄. στυπτηρίας σχιστῆς ‹ β΄. μίσυος ‹ α΄. ξηρῷ χρῶ.

Σμῆγμα ᾧ χρῶμαι σταλτικὸν οὔλων. ⸗ Κέρατος ἐλαφείου κεκαυμένου λίτρας β′. ἐρίων οἰσυπηρῶν ἁπαλῶν γο γ′. ἁλὸς ἀμμωνιακοῦ γο δ′. πεπέρεως λευκοῦ γο β′. κόστου γο α′. σχιστῆς γο β′. σχίνου καὶ περδικίου βοτάνης κεκαυμένης σὺν τοῖς ἐρίοις ἢ μόνης, τέταρτον λίτρας, μαλαβάθρου φύλλων γο α′. κόψας ὁμοῦ χρῶ.

Τὰ ὑπὸ Κρίτωνος γεγραμμένα πρὸς ἅπαντα τῶν ὀδόντων τὰ πάθη, τινὰ δὲ
12.881 τούτων καὶ πρὸς οὖλα πρὸς στόματα δυσώδη καὶ μέλανας ὀδόντας ἐξ ἐπιπολῆς. Κριθὰς καὶ ἅλας μέλιτι καὶ οἴνῳ δεύσας ἔνδησον εἰς χάρτην καὶ καύσας καὶ λειώσας τρῖβε τὰ οὖλα. ἄλλο. χαλκάνθην, στυπτηρίαν, σίδια ῥοιᾶς γλυκείας ἴσα λεάνας παράτριβε τὰ οὖλα νῆστις, εἶτα οἴνῳ στυπτικῷ διακλύζου. ἄλλο πρὸς οὖλα ἡλκωμένα. ⸗ νίτρου κεκαυμένου, κυπέρου κεκαυμένου, ἑκάστου ἴσον, λείοις μετὰ μέλιτος διάχριε. ἄλλο πρὸς οὖλα καὶ ὀδόντας σειομένους. ⸗ Ἴρεως γο δ′. πίτυος φλοιοῦ γο δ′. σχιστῆς γο α′. ξηρῷ χρῶ. ἄλλο πρὸς σειομένους ὀδόντας. σχῖνον, μυρσίνην, κηκίδα ἑψήσας ἐν οἴνῳ δίδου διακλύζεσθαι. ἄλλο. ⸗ ἁλὸς μέρη δύο, στυπτηρίας σχιστῆς κεκαυμένης καὶ ἐσβεσμένης ὄξει δριμεῖ μέρος ἓν, λείοις χρῶ, εἶτα οἴνῳ διακλυζέσθω.

Πρὸς σειομένους ὀδόντας ἵνα παγῶσι. Χάλκανθον τρίψας μετὰ ἐλαίου παράπτου τῶν ῥιζῶν ἐρίῳ. ποιεῖ καὶ πρὸς βεβρωμένους ὀδόντας ἀναληφθὲν κηρῷ, καὶ ἐντιθέμενον μετὰ μυρσίνης ἴσης τριβὲν καὶ μέλιτι ἀναληφθέν. πρὸς σειομένους ὀδόντας. πτελέας φλοιὸν ἐν οἴνῳ ἑψήσας
12.882 διακρατεῖν ποίει. καὶ κέρατα τοῦ ἐλάφου ἐν οἴνῳ ἑψημένα. πρὸς δὲ τοὺς βεβρωμένους ὀδόντας καππάρεως ῥίζαν σὺν ὄξει δριμεῖ ἔψε εἰς ἥμισυ καὶ

χλιαρῷ διακλύζου ἢ τὸν φλοιὸν ὁμοίως. τὸ δ’ αὐτὸ καὶ πρὸς πόνους ποιεῖ.

Ἄλλη πυρία ὀδόντων καὶ βεβρωμένων καὶ πονούντων. ⳨ Θείου ἀπύρου μέρος α′. βουτύρου μέρος α′. πήξας πυρία διὰ μηλωτίδος. ἄλλη πρὸς ὀδόντων πόνους. ἅλατι προσμίξας τοὺς ὀδόντας, κονίαν στακτὴν λαβὼν, χλιάνας κατάσχες ἐν τῷ στόματι μέχρι χρόνου συμμέτρου. ἔδει προσκεῖσθαι ἐπὶ τοῦ τῶν οὔλων πόνου.

Ἄλλη μυλικὴ αὐθωρὸν παύουσα. ⳨ Πεπέρεως, πυρέθρου, τιθυμάλλου ὀποῦ, χαλβάνης ἀνὰ ⩽ α′. λεάνας ἀναλάμβανε τῇ χαλβάνῃ καὶ ἐντίθει εἰς τὸ βρῶμα. ἄλλη. ⳨ πεπέρεως ὀβολὸν α′ ′′. κόκκου κνιδίου τὸ ἴσον, χαλβάνης ⩽ α′ ′′. ἀφρονίτρου ὀβολοὺς δύο, κρόκου ὀβολὸν α′ ′′. ἴρεως ξηρᾶς ὀβολὸν α′ ′′. ῥόδων ἁπαλῶν ⩽ ′′. τρίψας, μέλιτι ἀναλάμβανε καὶ ἐμπλαστρῶδες ποιήσας ἔμπλασσε τὴν μύλην.

12.883 Πρὸς βεβρωμένην μύλην. Μελάνθιον φώξας καὶ τρίψας μετ’ ὄξους δριμέος κατάπλασσε τὸ βρῶμα τῆς μύλης καὶ οὐκ ἔτι βρωθήσεται, ἀλλὰ μένει οἷόν ἐστιν. οἱ δὲ καὶ νίτρου ⩽ α′. μετ’ ὄξους δριμέος. πρὸς τὸ αὐτό. ⳨ καστορίου, πυρέθρου ὀπτοῦ, χαλβάνης ἴσον ἑκάστου μίξας ἐντίθει.

Πρὸς μύλην ἀπόνως ἆραι. ⳨ Ἀλεύρου ἐρεβίνθου καθαροῦ ⩽ β′. φυράσας ὀπῷ τιθυμάλλου, ἐπίθες ἐπὶ τὸν ὀδόντα καὶ ἐπάνω κισσοῦ φύλλα καὶ ἐάσας ὥραν αἶρε καὶ αὐτομάτως θρυβήσεται. ποιεῖ τοῦτο καὶ πρὸς βεβρωμένους, κηρωτὴν δ’ ἐπὶ τῆς χρείας μαλάξας περιτίθει.

Ἄλλο, ὥστε τοῖς δακτύλοις ἆραι τὸν ὀδόντα, περικαθάρας καλῶς. ⳨ Σώρεως, κηκίδος ὀμφακίνης, σταφίδος ἀγρίας, στυπτηρίας σχιστῆς, θείου ἀπύρου, πεπέρεως μακροῦ, λεῖα ποιήσας, κεδρίᾳ μίσγων λέαινε καὶ κηρὸν τήξας καλῶς περίχρισον τὸν ὀδόντα. ἐκβάλλει δὲ αὐτοὺς καὶ πύρεθρον καὶ τιθυμάλλου μυρσινίτου ὀπὸς μετὰ ἀλεύρου ὀροβίνου, ὥστε
12.884 στεατώδη γενέσθαι καταπλασθείς. ἢ πύρεθρον ἡμέραις μ′. βραχὲν ὄξει καὶ περιπλαττόμενον τῷ ὀδόντι. ἄλλο πρὸς τοὺς τετρημένους. ⳨ Καστορίου, πυρέθρου, ὀπίου, χαλβάνης ἴσον ἑκάστου μίξας ἐντίθει.

Περὶ ὀδοντοτριμμάτων συνθέσεως, οἷς χρῶμαι. Ἔνια τῶν ὑπ᾽ ἐμοῦ συντεθέντων ὀδοντοτριμμάτων τῇ πείρᾳ δοκιμασθέντα καὶ φανέντα γενναίαν ἔχειν ἐνέργειαν, ἄξια γραφῆς ἔδοξεν εἶναί μοι, καὶ πρῶτόν γε τὰς ψυχρὰς διαθέσεις τῶν ὀδόντων ἰωμένων, ἐάν τε διὰ ψυχροῦ πόσιν ὕδατος ἄμετρον ἢ τῶν ὑπὸ χιόνος ψυχθεισῶν ὀπωρῶν ἤ τινων ἐδεσμάτων ἢ πομάτων ὧσι γεγονυῖαι καὶ πρὸς τούτοις, ἐὰν διὰ χυμὸν ψυχρὸν ἐκ τῆς κεφαλῆς εἰς αὐτοὺς καταρρέοντα. τοὺς μὲν οὖν διὰ χυμὸν ἐψυγμένους μεγάλως ὀνίνησιν ὁ ἀποφλεγματισμός. ὅπως δὲ δεῖ ποιεῖν τοῦτον, καθ᾽ ἕτερον κεφάλαιον ἰδίᾳ γεγραμμένον ἔχεις. τοὺς δὲ ἄνευ χυμοῦ διὰ μόνου τοῦ νῦν εἰρημένου φαρμάκου θεραπεύειν προσήκει, χρῆσθαί τε αὐτῷ καὶ μετὰ τὸν ἀποφλεγματισμὸν ἄμεινόν ἐστιν, ὅπως ἐκκενώσῃς μὴ μόνον τὸν βλάπτοντα χυμὸν, ἀλλὰ καὶ τὴν ὑπ᾽ αὐτοῦ
12.885 γεννωμένην διάθεσιν ἐκθεραπεύσῃς. ἡ δὲ σύνθεσις τοῦ φαρμάκου τῷδε τῷ τρόπῳ γίνεται. λαβὼν δύο βοτάνας, ὧν ἡ μὲν σιδηρῖτις, ἡ δὲ περδικίας ὀνομάζεται, ξήρανον ἐν οἴκῳ ἀτρέμα χωρὶς ἡλίου προσβολῆς, ὡς μήτε ὑγρὰς ἔτι μήτε ξηρὰς εἶναι, καὶ καῦσον εἰς τοσοῦτον, ὡς ὅτε πρῶτον ἐπιτήδειοι γένοιντο κοπῆναι καὶ διατμηθῆναι παύσασθαι καίοντα. διαφθείρεται γὰρ ἡ δύναμις αὐτῶν ἐπιπλέον καυθεισῶν. ἐν ἑτέρῳ δὲ χυτριδίῳ καυθήτωσαν ἅλες ὀρυκτοὶ μετὰ σχιστῆς στυπτηρίας Ἀττικῷ μέλιτι φυραθέντες, εἶτα μετὰ τῶν ἄλλων ταῦτα μιχθέντα κοπτέσθωσαν καὶ διασησθέντα καλῶς λεπτῷ κοσκίνῳ, πάλιν ἐν θυΐᾳ τριβέσθωσαν, βέλτιον γὰρ ἔσται τὸ φάρμακον εἰς ὅσον ἂν ἀκριβέστερον λειωθῇ. χρῆσθαι δὲ αὐτῷ δεῖ, μόνους τοὺς ὀδόντας τρίβοντας χωρὶς τῶν περικειμένων οὔλων, εἰ μὴ τύχοι ταῦτα ὄντα πλαδαρὰ, ξηραντικὴν γὰρ ἔχον δύναμιν τὸ φάρμακον. ἐπιτήδειον μέν ἐστιν τοῖς ὑγροῖς οὔλοις, ἐναντίον δὲ τοῖς ξηροῖς, τὰς μέντοι μετὰ τὰ οὖλα ῥίζας τῶν ὀδόντων ἀνατρίβειν αὐτῷ χρὴ, καθάπερ γε καὶ αὐτοὺς τοὺς ὀδόντας. ἡ δὲ τῶν
12.886 μιγνυμένων εἰς τὴν σύνθεσιν τοῦ φαρμάκου συμμετρία τοιαύτη ἐστὶ, τῶν μὲν βοτανῶν μετὰ τὸ καυθῆναι ‹ ιστ΄. τῶν δὲ ἁλῶν τῶν μετὰ τῆς στυπτηρίας καυθέντων ‹ ια΄. ἔστω δὲ τῶν μὲν βοτανῶν ἴσος ἑκατέρας σταθμὸς μιγνύμενος πρὶν καυθῆναι. οἱ δὲ ἅλες τετραπλάσιοι τῷ σταθμῷ τῆς στυπτηρίας ἔστωσαν, τῶν δὲ ἄλλων μηδὲν καέσθω. ξηρὰ δ᾽ ἐμβαλλέσθω κατὰ τὴν ὑπογεγραμμένην συμμετρίαν. ϗ ὀριγάνου κόμης ‹

β′. πεπέρεως ‹ θ′. ἐν ἄλλῳ ‹ β′. πυρέθρου ‹ β′. κόστου ‹ γ′. σελίνου σπέρματος ‹ γ′. ἴρεως Ἰλλυρικῆς ‹ ε′. ἡδυόσμου ξηροῦ ‹ β′. κέρατος ἐλαφείου ἢ αἰγείου κεκαυμένου ‹ β′. σεσέλεως, ὑσσώπου ἀνὰ ‹ β′. ἐὰν εὐῶδες αὐτὸ βουληθῇς εἶναι, κασσίας ἢ ἀμώμου μίξας ‹ β′. εἰ δὲ βασιλεῖ σκευάσεις, ἐμβαλεῖς κινναμώμου ‹ α′.

Πρὸς τοὺς σειομένους ὀδόντας ᾧ χρῶμαι. ❡ Καλλιτρίχου καρποῦ λίτραν α′. στυπτηρίας σχιστῆς καὶ στρογγύλης ἀνὰ γο γ′. ναρδοστάχυος γο β′. μαλαβάθρου φύλλων γο α′. πεπέρεως λευκοῦ γο α′. πυρέθρου ‹ ε′. κόψας καὶ λειώσας ὁμοῦ πάντα παράπτου τῶν οὔλων, ἄχρι τῶν ῥιζῶν τῶν ὀδόντων.

12.887 Τὸ Τιμοκράτους ὀδοντότριμμα. πρὸς οὖλα πλαδῶντα, μυδῶντα αἱμασσόμενα, σειομένους ὀδόντας, κινουμένας μύλας, ὀζαίνας, σηπεδόνας, παρουλίδας καὶ πάντα τὰ ἐν τῷ στόματι καὶ ὀδονταλγίας. Λαβὼν τῆς περδικίας βοτάνης μόδιον Ἰταλικὸν, ἐν ἄλλῳ μνᾶν, ἁλῶν λευκῶν καὶ λεπτῶν α′. μέλιτος ἑξάγειον α′. κόψον, ὡς γενέσθαι μάζαν ψαφαρωτέραν, εἶτα ἐμβαλὼν εἰς χύτραν καινὴν περίπλασον πηλῷ κεραμικῷ. τὸ δὲ πῶμα ἡρμοσμένον, κατὰ μέσον τρῆμα ἔχον, δι᾽ οὗ κινείσθω ῥάβδῳ ἐξ ἀνθρακιᾶς ὠπτημένῳ, ἕως οὗ μήτε καπνῶδες μήτε ἀτμῶδες ἀναφέρηται, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς καὶ ψύξας λάμβανε ἐπ᾽ αὐτοῦ ‹ ιδ′. πεπέρεως λευκοῦ ‹ ε′. πεπέρεως μέλανος ‹ στ′. πυρέθρου ‹ στ′. στυπτηρίας σχιστῆς κεκαυμένης καὶ ἐσβεσμένης οἴνῳ αὐστηρῷ ‹ β′. κισσήρεως, σμύρνης, ὑσσώπου, σελίνου σπέρματος, γλήχωνος ἀνὰ γο β′. ἡδυόσμου, ἴρεως Ἰλλυρικῆς, ἀνὰ ‹ γ′. ταῦτα προξηράνας ἐν ἡλίῳ, κόπτε, σῆθε καὶ μίγνυε τῷ ἐκ τῆς χύτρας προλελειωμένῳ. ἄλλο. ❡ περδικίου
12.888 προσφάτου ‹ ι′. μέλιτος ‹ δ′. στυπτηρίας σχιστῆς ‹ δ′. ἴρεως Ἰλλυρικῆς ‹ δ′. πεπέρεως λευκοῦ ‹ η′. μέλανος ‹ γ′. κισσήρεως ‹ β′. σμύρνης ‹ γ′. πυρέθρου ‹ β′. ἡδυόσμου ξηροῦ ‹ γ′. ὑσσώπου ‹ β′. γλήχωνος ‹ β′. σελίνου σπέρματος ‹ β′. σιδηρίτιδος βοτάνης ‹ γ′. ἁλῶν ὀρυκτῶν ‹ ιδ′. τὴν περδίκιον καὶ τὴν σιδηρίτιδα καὶ τὸ μέλι καὶ τοὺς ἅλας φυράσας καῦσον, τὴν δὲ σχιστὴν ἰδίᾳ καύσας οἴνῳ σβέσον, εἶτα ὁμοῦ πάντα κόψας χρῶ. ἄλλο. ❡ ἁλῶν ὀπτῶν διὰ μέλιτος τῶν μετὰ τοῦ περδικίου ‹ ιδ′. στυπτηρίας σχιστῆς, ὀπτῆς, ἐσβεσμένης οἴνῳ αὐστηρῷ, ἴρεως Ἰλλυρικῆς

ἀνὰ ‹ δ′. ἑλξίνης, σμύρνης, ἡδυόσμου ξηροῦ ἀνὰ ‹ γ′. γλήχωνος ξηρᾶς, κισσήρεως, πυρέθρου, ὑσσώπου, σελίνου σπέρματος ἀνὰ ‹ β′. φύλλου μαλαβάθρου ‹ β′. πεπέρεως λευκοῦ ‹ ε′. μέλανος ‹ στ′. κόψας, σήσας χρῶ. ἄλλο. ⁊ ἁλῶν ὀπτῶν διὰ τοῦ μέλιτος τῶν μετὰ τοῦ περδικίου ‹ ιδ′. γλήχωνος ‹ β′. στυπτηρίας σχιστῆς, ὀπτῆς καὶ ἐσβεσμένης οἴνῳ αὐστηρῷ ‹ δ′. ἴρεως Ἰλλυρικῆς ‹ δ′. πεπέρεως λευκοῦ ‹ ε′. καὶ μέλανος ‹ στ′. κισσήρεως ‹ β′. σμύρνης ‹ γ′. ἡδυόσμου ‹ γ′. πυρέθρου ‹ β′. ὑσσώπου ‹ β′.
12.889 σελίνου σπέρματος ‹ β′. οἱ ἅλες πεπλυμένοι μέλιτι καλῶς φυρῶνται, τριβέντες καὶ ἐντεθέντες εἰς χύτραν καινήν· ἔπειτα δεῖ τὸ περδίκιον ἐπιτιθέναι μεταξὺ τῶν ἁλῶν αὐτοῦ ἐνσπειρομένων, ἔπειτα δὲ ἐπιθέματος ἐπιτιθέντος περιπλάσσεται πηλῷ καὶ ἐν τῷ κλιβάνῳ ὀπτᾶται, ἐξαιρεθέντα δὲ τρίβεται συντριβομένων τῶν ἁλῶν, πάνυ δὲ λείοις χρῆσθαι.

Σμῆγμα ὀδόντων, ἵνα λευκοὶ ὦσι καὶ εὐώδεις καὶ ἵνα μὴ διαβιβρώσκωνται. ⁊ Νίτρου γο α ′. σηπίας ὀστράκου γο α ′. σμύρνης γο α ′. λείοις χρῶ. ὀδοντότριμμα κάλλιστον. ⁊ στυπτηρίας σχιστῆς γο στ ′. μαστίχης γο α ′. ῥόδων κόμης γο γ ′. ἴρεως γο δ ′. λείοις χρῶ καὶ ὕδατι χλιαρῷ διακλύζου.

Τὸ Δαμοκράτους ἐγγραφόμενον ὀδοντότριμμα. Πυθικοῦ λεγόμενόν τι βιβλίδιον εἶναι μικρὸν, ὁ Δαμοκράτης ἐπέγραψε Πυθικὸν, ἀπὸ τοῦ δόντος αὐτῷ τὰς τῶν στοματικῶν φαρμάκων συνθέσεις ὀνομάσας οὕτω, ἐν ᾧ κατὰ τὸ τέλος καὶ ταῦτα γέγραπται·
12.890
Ὀδοντοτρίμμασιν δὲ τούτοις χρώμενος
Λευκοὺς τηρήσεις τοὺς ὀδόντας κᾀσινεῖς.
Τὰ πλαδαρά τε οὖλα καταστέλλεις ἅμα.
Αἴρεις δὲ καὶ τὰς τῶν στομάτων δυσωδίας,
Ποιῶν τὸ μὲν ἄκρως λευκὸν οὕτω σκευάσας,
Κέρατος ἐλαφείου τετράκις κεκαυμένου
Λίτρας τέσσαρας, ἁλὸς λίτραν α′.
Ἐν ἄλλῳ δ’ εὗρον οὕτω.
Κέρατος ἐλαφείου κεκαυμένου τετράκις
Λίτρας . ἁλὸς γο διπλᾶς,

Ἀμμωνιακοῦ ξηροῦ τε καὶ μὴ τοῦ πικροῦ,
Χόνδρου τε λίτραν α′. μαστίχης Χίας λίτραν μίαν.
Κόστου λίτρας γο γ′. ἢ πλεῖον βραχὺ,
Σχίνου τε λευκῆς ταὐτὸ καὶ λευκοῦ πεπέρεως
γο α′. φύλλου μαλαβάθρου γο β′.
Κόψας ἐν ὅλμῳ πάντα καὶ σήσας ἅμα
Χρῆσθαι κελεύσεις, ὡς φράσω μετ᾽ οὐ πολύ.
Εἰ δὲ θελήσεις αὐτὸ σκευάσαι ποτὲ
12.891 Πρὸς φλεγμονὴν οὔλων καὶ τραύματα ἔχοντα,
Σαρκῶν ἐπιφύσεις τετυλωμένας, σχιστῆς
Προσέμβαλε στυπτηρίας λίτραν μίαν.
Ἄλλο Δαμοκράτους ὀδοντότριμμα.
Τὸ δὲ μᾶλλον οὕτω γενέσθαι δυνάμενον,
Μετὰ εὐχερείας καὶ τὸ συμφέρον πολὺ
Ἔχον, μετά τινος ἡδονῆς τῶν χρωμένων.
Χλωρὰν ἐπὶ πολὺ, τὴν σιδηρῖτιν πόαν,
Εἰς λοπάδα καινὴν εὐμεγέθη πολλὴν ἐμβαλὼν,
Κριθῆς παράμισγε τὸ μέτριον τῆς προσφάτου,
Κᾆτα θές γε ἐπ᾽ αὐτῆς τῆς πόας δεσμίδιον,
Ἅλας περίπασσε, εἶτα τῆς πόας πάλιν,
Εἶτα κριθὴν πάλιν, εἶτα τοῦτο πολλάκις
Ποιῶν, ἀποπλήρου τὸ πᾶν κύτος τῆς λοπάδος.
Ἄνωθεν δὲ ἱκανὸν τῆς πόας τιθεὶς πάλιν,
Εἰς ἵπνον ἔχοντα θερμασίαν ἢ κλιβάνῳ
Θεῖναι κέλευσον νύκτα ὅλην ἵνα ἐκφρυγῇ,
Μᾶλλον δ᾽ ἵνα ἐκκαῇ καὶ δυνηθῇ ῥᾳδίως
12.892 Λεῖον γενέσθαι καὶ διελθεῖν κοσκίνῳ.
Εὐωδίας δὲ χάριν πρόσβαλλε βραχὺ
Λευκοῦ πεπέρεως καὶ λιβάνου μὴ πολύ.
Σχίνου δὲ πλεῖον καὶ κυπείρου τῆς καλῆς.
Ταῦτα ἀφαιρῶν πάντα καταμίσγεις μόνον,
Χίας πολὺ πλέον, μαστίχης ξηρᾶς πάνυ
Διδόναι χρὴ τοῖς θέλουσι εἰς ἑσπέραν.

Ὄρθρου δὲ πάλιν τοῖς καθαρίοις ἀνδράσιν,
Ἐπὶ διακλύζεσθαι μετὰ φάρμακα κράματι,
Πρόσταττε χρῆσθαι καὶ μάλιστ᾽ εἰς ἑσπέραν,
Ὄρθρου δ᾽ ὀξυμέλιτος εὖ κεκραμένου,
Μάλιστα πρὸς τὰς τῶν στομάτων δυσωδίας.

Παρὰ Αὐρηλίου. Στυπτηρίας καύσας ἐπὶ μύακος χαλκοῦ καὶ ὀστράκου, κατασβέννυε οἴνῳ αὐστηρῷ, ἀπὸ ταύτης λάβε γο θ′. μαστίχης γο στ′. λιβάνου γο α′. φύλλου ʃ δ′. κυπέρου ʃ δ′. καὶ χρῶ. ἄλλη ᾗ χρῶμαι. ⳋ κέρατος ἐλαφείου κεκαυμένου ʃ β′. μαρμάρου γο α′. ὀριγάνου ʃ δ′. χρῶ.

12.893 Περὶ φαρμάκου συνθέσεως προφυλακτικοῦ ὀδόντων. ⳋ Τραγοριγάνου ʃ β′. ὑσσώπου ʃ δ′. περδικίου βοτάνης, τῆς τιβερίας ἀναδευθείσης μέλιτι καὶ ἅλατι λεπτῷ καὶ καυθείσης ἐν χύτρᾳ ὡς ἀνθρακωθῆναι γο γ′. πεπέρεως ʃ δ′. κόψας, σήσας, τούτῳ χρώμενος ἀπόθου, οὔτε ἀλγήσονται ὀδόντες οὔτε τμηθήσονται οὔτε παρουλίδες αἱμαχθήσονται οὔτε ὑπερσαρκώσουσιν οὔτε ῥευματισθήσονται, ἕξεις δὲ εὐῶδες τὸ στόμα καὶ λαμπροὺς τοὺς ὀδόντας. τινὲς δὲ ταρίχους καύσαντες ἐν χύτρᾳ προσβάλλουσι τῷ φαρμάκῳ ἢ κύβιον. κατ᾽ ἰδίαν γὰρ ἐάν τις χρήσηται τῇ σποδιᾷ, οὐκ ἀλγήσει.

https://eulogikon.org/works/galen-pergamon-drugs-by-places-book-5-qmm-gs · eul_wid qmm-gs · Diogenes Lab reading page 8e9b6e5952f7